# Eulogikon

Ancient Greek Texts — Free & Open source


eul_wid: wus-ap

*Σοῦδα* · Suda

# Lexicon, Letter Π

*Σοῦδα, Στοιχεῖον Π*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

π 1 Παγανοί: ἀστράτευτοι. συνέθεον δὲ γύναια τε καὶ οἱ ἐν στρατείᾳ καὶ παγανοί.

π 2 Παγάς· Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν ἐστι Φεραίων.

π 3 Πάγας: δίκτυα, παγίδας. καὶ τοῦτο δήπου τὸ τοῦ Αἰσχύλου, τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν καὶ ἐνσχεθεὶς ταῖς πάγαις ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε. τεύχων ὡς ἑτέρῳ τις, ἑῷ κακὸν ἥπατι τεύχει.

π 4 Παγασαί: πόλις.

π 5 Παγασιτικὸς κόλπος.

π 6 Πάγγαιον: ὄνομα ὄρους.

π 7 Παγῆναι: πηγῆναι.

π 8 Παγίδι.

π 9 Παγκάλης: πάνυ καλῆς. Πάγκαλος δέ.

π 10 Παγκρατιασταῖς: ἀθληταῖς, πύκταις τοῖς χερσὶ καὶ ποσὶ πυκτομαχοῦσι.

π 11 Παγκράτιον: πυγμή, ἀγών, ἄθλησις.

π 12 Παγκράτιος, σοφιστής. εἰς τὴν Μινουκιανοῦ τέχνην ὑπόμνημα.

π 13 Παγκράτιος: τούτου φέρονται Ὀψαρτυτικὰ καθ' ἑκάστην τροπήν. ἤκμαζεν ἐπὶ τῶν χρόνων Λέοντος τοῦ πρεσβύτου, καὶ ἕως Ζήνωνος.

π 14 Πάγκοινος λίμνη: ἡ τοῦ ᾅδου. ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδα παγκοίνου λίμνας ἀνστάσεις, οὔτε γόοις οὔτε λιταῖσιν. παγκοίνου, εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ. ὁ δὲ νοῦς· οὔτε ὀδυρομένη οὔτε παρακαλοῦσα τοὺς θεοὺς τοῦτον ἀναστήσεις. Ὁμηρικῶς· οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. καὶ Αἰσχύλος· μόνος θεῶν γε θάνατος οὐ δώρων ἐρᾷ. οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.

π 15 Πάγον εὐτείχη: ἐν ὄρει τετειχισμένην.

π 16 Πάγοι: αἱ ἐξοχαὶ τῶν πετρῶν καὶ τῶν ὀρῶν. αὔλια καὶ Νυμφῶν ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ πίδακες ἥ θ' ὕδασι γειτονέουσα πίτυς.

π 17 Παγχενῖτις: ὄνομα χώρας.

π 18 Πάγχυ: παντελῶς.

π 19 Πάδος: ὄνομα ποταμοῦ, τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζομένου.

π 20 Πάθας: πάθη, ξυμφοράς. ὁ δὲ ἐπῆγε τήν τε ἀποστέρησιν τῶν χρημάτων καὶ τὴν καταδίκην καὶ μέντοι καὶ τὰς προτέρας αὐτοῦ τὰς ἀδίκους πάθας. Πάθας θηλυκῶς. Σοφοκλῆς· καὶ τὰς μὲν ἔνδον οὐκ ἔχω λέγειν πάθας.

π 21 Πάθαι: αἱ συμφοραί. Οἰδίπους· στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον. στέργειν τὰ δυστυχήματα ὁ πολὺς ἐποίησε χρόνος καὶ τὸ τῶν συμφορῶν πλῆθος καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα.

π 22 Πάθη: ἡ κάκωσις. ἀκόλουθον σφίσι πάθην ἐπηρτημένην ὁρῶντα, ἣν λαθεῖν ἀδύνατον. καὶ αὖθις· καὶ ἄλλας μυρίας εἴποιμι ἂν δίκης ἀμελουμένης ἀκόλουθα πάθας.

π 23 Πάθη: θηλυκῶς τὸ πάθος. οἷαι γὰρ αἱ πάθαι τῆς ψυχῆς κατὰ τὴν θέαν, τοιαύτας καὶ τὰς ἀποβάσεις εἶναι ἀνάγκη.

π 24 Πάθη δύο: πόνος καὶ ἡδονή. καὶ ἡ μὲν ἡδονὴ λεία κίνησις, ὁ δὲ πόνος τραχεῖα κίνησις. καὶ ἡ μὲν ἡδονὴ εὐδοκητὴ πᾶσι ζῴοις, ὁ δὲ πόνος ἀποκρουστικός.

π 25 Παθηζίτης: ὄνομα κύριον.

π 26 Πάθος λέξεως· ὁμωνυμία, ὡς κύων. μεταφορά· ὡς τιθηνὸς ἡ γῆ. κατάχρησις ἐντεῦθεν καὶ ἡ ἀσάφεια.

π 27 Πάθος: ὅτι τὸ τοῦ πάθους ὄνομα διχῶς λέγεται· ἢ γὰρ τὸ εἰς φθορὰν ἄγον ἢ εἰς τελείωσιν. λέγεται γὰρ πάσχειν τὸ ξύλον ὑπὸ τοῦ πυρὸς, ὡς εἰς φθορὰν ἀγόμενον, λέγεται πάσχειν καὶ τὰς αἰσθήσεις ὑπὸ τῶν αἰσθητῶν, ἀντὶ τοῦ τελειοῦσθαι, καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἄγεσθαι. ὅτι ἐκ τῶν παθῶν τοῦ σώματος διαβαίνει τι πρὸς τὴν ψυχήν· ἀλγοῦντι γὰρ συναλγεῖ καὶ εὐθυμοῦντι συνήδεται. ὅτι καὶ ἐμποδίζει αὐτῇ τὸ σῶμα τοιῶς ἢ τοιῶς διακείμενον, οὐδεὶς ἀγνοεῖ, ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ διέβαινεν ἀπὸ τῆς πρὸς αὐτὸ σχέσεως συμπάθειά τις ἐπὶ τὴν ψυχὴν οὕτως, ὡς τῆς κοιλίας τοῦ ἐγκεφάλου τῆς ὄπισθεν παθούσης τὸ μνημονευτικὸν πάσχειν. περὶ παθῶν· ὅτι τῆς ψυχῆς μέρη τὰ ε' αἰσθητήρια καὶ τὸ φωνητικὸν μόριον καὶ τὸ διανοητικόν, ὅπερ ἐστὶν ἡ διάνοια. ἐκ δὲ τῶν ψευδῶν ἐπιγίγνεσθαι τὴν διαστροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ' ἧς πολλὰ πάθη βλαστάνειν καὶ ἀκαταστασίας αἴτια. ἔστι δὲ αὐτὸ τὸ πάθος ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις ἢ ὁρμὴ πλεονάζουσα. τῶν παθῶν τῶν ἀνωτάτω γένη τέσσαρα, λύπη, φόβος, ἐπιθυμία, ἡδονή. δοκεῖ δὲ τὰ πάθη κρίσεις εἶναι· ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι. καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολασία ὁμοίως καὶ τὰ ἄλλα. καὶ τὴν μὲν εἶναι συστολὴν ἄλογον, εἴδη δὲ αὐτῆς ἔλεος, φθόνος, ζῆλος, ζηλοτυπία, ἄχθος, ἐνόχλησις, ἀνοία, ὀδύνη, σύγχυσις. ἔλεον μὲν ὡς ἐπὶ ἀναξίως κακοπαθοῦντι, φθόνον δὲ λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, ζῆλον δὲ λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι ὧν καὶ αὐτὸς ἔχει, ἄχθος λύπην βαρύνουσαν, ἐνόχλησιν λύπην στενοχωροῦσαν καὶ δυσχωρίαν παρασκευάζουσαν, ἀνοίαν λύπην ἐκ διαλογισμῶν μένουσαν ἢ ἐπιτεινομένην, ὀδύνην λύπην ἐπίπονον, σύγχυσιν λύπην ἄλογον, ἀποκλείουσαν καὶ κωλύουσαν τὰ παρόντα συνορᾶν. ὅτι ἡ ἀθανασία τῆς ζωῆς πάθος ἐστὶν ἢ σύμπτωμά τι. ὅτι δὲ πάθος ἢ σύμπτωμά τι ἡ ἀθανασία τῆς ζωῆς, δειχθήσεται ἐπὶ ὑποθέσει τῇ ἐκ θνητοῦ ἀθάνατον γίγνεσθαι· οὐ γὰρ μεταλήψει ἄλλης ζωῆς ἀθάνατον ἔσται τὸ θνητόν, ἀλλ' ὡς συμπτώματί τινι καὶ πάθει· ἡ γὰρ αὐτὴ ζωὴ παθοῦσα ἀθανασία ἐστίν. εἰ δὲ πάθους αἰτία ἡ ζωὴ ἀθανασία γίνεται, εἴη ἂν πάθος ἡ ζωὴ τῆς ἀθανασίας. εἰ οὖν τοῦ πάθους τοῦ ἰδίου τὸ πεπονθὸς οὐκ ἔστι γένος (σύμπτωμά τι γὰρ καὶ συμβεβηκὸς τὸ πάθος τοῦ πεπονθότος, ἀλλ' οὐκ εἶδος), οὐδ' ἂν τῆς ἀθανασίας γένος εἴη ἡ ζωή· οὐδὲ γὰρ γλυκύτητος τὸ σῶμα γένος οὐδὲ ἡδονῆς ἢ λύπης ψυχή. λέλεκται περὶ τούτου καὶ ἐν τῷ ἀθάνατος, ἀλλ' ἐνταῦθα πλατύτερον.

π 28 Πάθωμεν: αὐθυποτακτον.

π 29

Πάκατος, ὁ Μινούκιος χρηματίσας καὶ Εἰρηναῖος, Ἀλεξανδρεύς, γραμματικός. Περὶ τῆς Ἀλεξανδρέων διαλέκτου ἢ περὶ Ἑλληνισμοῦ βιβλία ζʹ· ἔστι δὲ κατὰ στοιχεῖον· Περὶ Ἀττικῆς συνηθείας τῆς ἐν λέξει καὶ προσῳδίᾳ βιβλία γʹ· ἔστι δὲ κατὰ στοιχεῖον· Περὶ ἰδιωμάτων τῆς Ἀττικῆς καὶ τῆς Δωρίδος διαλέκτου, Περὶ Ἀττικισμοῦ, καὶ ἄλλα πολλά.

π 30 Πάκορος: ὄνομα κύριον. τῇ τε γὰρ Κράσσου καὶ τῶν ἀμφ’ αὐτὸν φθορᾷ ἀντίρροπον γενέσθαι τὴν Πακόρου καὶ τῆς ξὺν αὐτῷ δυνάμεως ἀπώλειαν.

π 31 Πακτοῦν: κλείειν, ἀσφαλίζεσθαι. μοχλοῖσι τὰ προπύλαια πακτοῦν. Ἀριστοφάνης Λυσιστράτῃ.

π 32 Πακτωλός: ὄνομα ποταμοῦ.

π 33 Πακτυηνή: ὄνομα πόλεως. καὶ Πακτυνή.

π 34 Παλλάδιον: τοῦτο ἦν ζῴδιον μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελεσμένον, φυλάττον τὴν βασιλείαν τῆς Τροίας· ἐδόθη δὲ Τρωῒ τῷ βασιλεῖ κτίζοντι τὴν πόλιν ὑπὸ Ἀσίου τινὸς φιλοσόφου καὶ τελεστοῦ· διὸ δὴ εἰς τιμὴν Ἀσίου τὴν ὑπ’ αὐτοῦ βασιλευομένην χώραν πρότερον Ἤπειρον λεγομένην Ἀσίαν ἐκάλεσεν. οἱ δὲ ποιητικῶς γράψαντες ἐκ τοῦ ἀέρος εἶπον τὸ παλλάδιον τοῦτο κατενεχθῆναι τῷ Τρωῒ βασιλεύοντι Φρυγῶν. τοῦτο Διομήδης καὶ Ὀδυσσεύς, ὅτε τὴν πρεσβείαν ἐποιήσαντο πρὸς Πρίαμον, ἐκ τοῦ ἱεροῦ ἐσύλησαν, προδεδωκυίας αὐτὸ Θεανοῦς τῆς τοῦ Ἀντήνορος γυναικός, ἱερείας τυγχανούσης καὶ φυλαττούσης αὐτό· ἦσαν γὰρ ἀπὸ χρησμοῦ καὶ Ἀντήνορος μαθόντες, ὅτι ἕως οὗ μενεῖ τὸ παλλάδιον ἐν τῇ Τροίᾳ, ἀσάλευτος ἔσται ἡ βασιλεία τῶν Φρυγῶν. πολλὴ τοίνυν μεταξὺ Αἴαντος καὶ Ὀδυσσέως ἐκινήθη ἔρις, τίς τοῦτο εἰς τὴν ἰδίαν ἀπενέγκοι πατρίδα, δικαζόντων αὐτοῖς τῶν ἄλλων βασιλέων καὶ προμάχων. πολλῶν τοίνυν μεταξὺ λόγων κινηθέντων, καὶ γενομένης ὀψίας, ἔδοξεν αὐτοῖς παραθέσθαι τὸ βρέτας Διομήδει, μέχρις ἂν γένηται πρωΐ. καὶ τούτου γενομένου, διὰ τῆς νυκτὸς εὑρέθη ὁ Αἴας ἐσφαγμένος ἀδήλως. ὑπενόουν δὲ δόλῳ φονεῦσαι αὐτὸν τὸν Ὀδυσσέα. καὶ φιλονεικήσαντες πρὸς ἀλλήλους ἀπέπλευσαν. ζήτει ἐν τῷ Διομήδειος ἀνάγκη.

π 35 Παλλάδιος, Παλλαδίου, Μεθωναῖος, σοφιστής. γέγονε δὲ ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως. Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν, Διαλέξεις, λόγους διαφόρους, Ὀλυμπιακόν, Πανηγυρικόν, Δικανικόν.

π 36 Παλλαδίων χρυσουμένων: ἐν ταῖς πρώραις τῶν τριήρων οἱ Ἀθηναῖοι ἀγάλματά τινα ξύλινα τῇ Ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

π 37 Παλάθαι: μᾶζαι σύκων. καὶ Παλασίων, τῶν πεπατημένων ἰσχάδων. παλάθαι δὲ εἶδος βοτάνης. Παλάθαι, τὰ ἐκ τρυγὸς πλάσματα· ἢ ἡ ἐπάλληλος θέσις τῶν σύκων.

π 38 Παλλακή, Παλλακὶς δέ.

π 39 Παλάμαι: αἱ τέχναι, χεῖρες. ὦ παλάμαι θνητῶν, ὦ δύστηνα γένη βροτῶν, οἷσι μὴ μέτριος αἰών. οὗτος. καὶ ἑξῆς.

π 40 Παλαμᾶσθαι: τεχνάζεσθαι. καὶ Παλαμάσθω· πρὸς ταῦθ’ ὅ τι χρῆ καὶ παλαμάσθω, καὶ πᾶν ἐπ’ ἐμοὶ τεκταινέσθω· τὸ γὰρ εὖ μετ’ ἐμοῦ, καὶ τὸ δίκαιον ξύμμαχον ἔσται. καὶ οὐ μήθ’ ἁλῶ κακὰ πράσσων. καὶ αὖθις· ὁποῖα παλαμᾶται. ἀντὶ τοῦ τεχνάζεται. καὶ Ἀπάλαμνος παρ’ Ὁμήρῳ, ὁ ἄτεχνος.

π 41 Παλάμη: τέχνη. Ἡρόδοτος· ἔλεγέ σφιν ὡς δοκέοι ἔχειν παλάμην, τῇ ἐλπίζοι τῶν βασιλέως συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. Παλάμῃ οὖν τῇ ἀρχῇ.

π 42 Παλαμήδειος λόγος: τοῦ Παλαμήδους.

π 43 Παλαμήδης, Ἐλεατικός, γραμματικός. Κωμικὴν καὶ τραγικὴν λέξιν, Ὀνοματολόγον, ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.

π 44

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παλαμήδης, Ναυπλίου καὶ Κλυμένης, Ἀργεῖος, ἐποποιός. ἦν δὲ οὗτος ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς μητρός. ἔσχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν καὶ ποιητικὴν καὶ εὑρετὴς γέγονε τοῦ ζ στοιχείου καὶ τοῦ π καὶ τοῦ φ καὶ τοῦ χ, ψήφων τε καὶ πεσσῶν καὶ κύβων καὶ μέτρων καὶ σταθμῶν. τὰ δὲ ποιήματα αὐτοῦ ἠφανίσθη ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν. ὑπολαμβάνω δὲ καὶ τὸν ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι καὶ μηδεμίαν τοῦ ἀνδρὸς τούτου μνήμην ποιήσασθαι. ὅτι ἠφανίσθη τὰ Παλαμήδους ποιήματα διὰ βασκανίαν ὑπὸ Ὁμήρου. ἅπτεται δὲ καὶ τῶν μεγίστων ἀνδρῶν ὁ φθόνος· ὡς εἴθε μὴ παρεισέδυ τῷ βίῳ, ἢ παρεισδὺς μή μου περιέσοιτο· ἐρρέσθω δὲ καὶ ἀπέστω. ὅσα γὰρ δέδηγμαι τὴν καρδίαν, καὶ οἷα δέδορκα τῷ μακρῷ χρόνῳ. ἀλλ' εἴη μοι βίος πανεπάρκιος. ὄμμα βάλοι δὲ μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη· φησί τις τῶν παλαιῶν.

π 45 Παλαμήδης· οἶδα δ' ἐγὼ καὶ δὴ πότερον ἐκ τοῦ Παλαμήδους. ὡς ἐκεῖνος τὰς πλάτας ῥίψω γράφων. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει τῷ πατρὶ τὸν Παλαμήδη ἐν διαφόροις πλάταις καὶ ῥιπτεῖ εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι Ναυπλίῳ περιπεσεῖν. πόθεν οὖν γ' ἔκειντό μοι πλάται; ταδὶ τἀγάλματα ἀντὶ πλατῶν γράφων διαρρίπτοιμι. βέλτιον πολύ. ξύλον γέ τοι καὶ ταῦτα, κἀκεῖν' ἦν ξύλον.

π 46 Παλαμναῖος: φονεύς, ἢ μιαρός. παλαμναῖοι γὰρ λέγονται οἱ διὰ χειρὸς ἀνδροφονοῦντες, παρὰ τὴν παλάμην. καὶ Ζεὺς Παλαμναῖος, ὁ τοὺς τοιούτους τιμωρούμενος· καὶ Προστροπαῖος, ὁ προστρέπων τὸ ἄγος αὐτοῖς. Βάβριος· οὐχὶ τὸν μῦν εἶπεν, ἡ παλαμναία, δέδοικα μή μου τὴν δορὰν δάκῃ φεύγων· χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν. ὁ λέων φησὶ περὶ μυός. καὶ αὖθις· οὐκ ἄνθρωποι ἔδοξαν εἶναι ἀλλὰ δαίμονες παλαμναῖοί τινες. Αἰλιανός· ὁ δὲ πρὸ τῆς ἐς τοὺς πολεμίους συμπλοκῆς, ὡς εἶδεν ἀπολλύμενόν οἱ τὸν λεών, ἐνετολμήσατο κακὸν κακῷ μείζονι ὁ παλαμναῖος ἄρα ἐκεῖνος σβέσαι. προστάττει γοῦν τὴν ἄθλιον παρθένον δίχα τεμεῖν.

π 47 Παλαμωμένων: χερσὶν ἐργαζομένων. τὴν ἐκ τῶν Ῥωμαίων παλαμήσασθαι σωτηρίαν.

π 48 Παλαμῶν: τεχνῶν, ἢ χειρῶν.

π 49 Παλλάντιον· ὁ Ῥωμύλος μετὰ τὸ καταστῆσαι τὰ πολιτικὰ ἀνενέωσε καὶ τὸ καλούμενον ἀπὸ Πάλλαντος Παλλάντιον, τὸν βασιλικὸν οἶκον.

π 50 Παλλάς: παρθένος μεγάλη. ἔστι δὲ ἐπίθετον Ἀθηνᾶς· ἀπὸ τοῦ πάλλειν τὸ δόρυ, ἢ ἀπὸ τοῦ ἀνῃρηκέναι Πάλλαντα, ἕνα τῶν Γιγάντων.

π 51 Παλατῖνοι: εἶδος ἄρτων, οὓς ἐφιλοτιμήσατο τῷ δήμῳ Κωνσταντῖνος ὁ μέγας, καθ' ὃν ὑπάτευε χρόνον, οὕτως ὀνομάσας αὐτούς, οἷα ἐκ τοῦ παλατίου χορηγουμένους. προσέθηκε δὲ τούτοις καὶ κρέα καὶ οἶνον καὶ ἔλαιον· ὧν μέχρι τινὸς ἡ πόλις ἀπήλαυσε, τῶν ὑπ' αὐτοῦ ῥιφέντων φέρουσα τὰ γνωρίσματα.

π 52 Παλάμῃ: τῇ ἀρχῇ.

π 53 Πάλαι: ἐπίρρημα χρόνου δηλωτικόν.

π 54 Παλαιγενές: πρεσβύτατον. Ἀριστοφάνης· χαῖρ', ὦ πρεσβῦτα παλαιγενές. οὐχ ὡς σεμνόν τινα προσηγόρευσε διὰ τὸν χρόνον· τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. ἀντὶ τοῦ ἀνόητε. καὶ Εὐριπίδης· ἀρχαῖον εἴρηκας. ἀντὶ τοῦ εὔηθες. εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι. ὅτι ἡ παλαιὰ ἐν πίθῳ εὑρέθη. καὶ ζήτει ἐν τῷ Ὠριγένης.

π 55 Παλαιεύς.

π 56 Παλαιόν· οἱ ῥήτορες ἐχρήσαντο τῷ παλαιὸν ἐπὶ ἀργυρίου ἐκ δανείσματος ὀφειλομένου. οὕτως Λυσίας ἐν τῷ πρὸς Ἀλκίβιον· καίτοι, εἰ ἀποδεδώκει τῷ Κτησικλεῖ τὰς ν' παλαιάς, ὥσπερ οὗτός φησι.

π 57

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παλαιόν: τὸ πρὸ πολλοῦ χρόνου· ὡς παρ' Ὁμήρῳ· ἦ ῥά νύ μοι ξεῖνος πατρώϊος ἐσσὶ παλαιός. καὶ τὸ διερρυηκός. ὡς τό, πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, ἠμὲν νέαι ἠδὲ παλαιαί.

π 58 Παλαιὸς ἀφ' οὗ χρόνος: ἀντὶ τοῦ ἐκ πολλοῦ χρόνου.

π 59 Παλαίῳ· δοτικῇ.

π 60 Παλαίπολις: ὄνομα τόπου.

π 61 Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι: ἐπὶ τῶν ποτε ἀκμασάντων, νῦν δὲ ἀσθενῶν ὄντων.

π 62 Παλαίσμασιν: ἀντὶ τοῦ στρατηγήμασι. καὶ Ἀριστοφάνης· Φρυνίχου παλαίσμασι. στρατηγοῦντος γὰρ αὐτοῦ ἡττήθησαν Ἀθηναῖοι καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν, ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουσιν, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ἐγένετο δὲ στρατηγός, ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν καὶ ἄτιμοι ἐγένοντο.

π 63 Παλαιστάς: σπιθαμάς, ἢ ἐν πάλῃ.

π 64 Παλαιστηνός: ἐκ τοῦ παλαιστή, παλαιστής. Παλαιστῖνος δέ.

π 65 Παλαιστής: ἀνταγωνιστής. σοφὸς παλαιστὴς κεῖνος· ἀλλὰ χἀι σοφαὶ γνῶμαι ἐμποδίζονται θαμά.

π 66 Παλαιστίνη: ὄνομα χώρας. καὶ Παλαιστῖνος, ὁ ἀπὸ Παλαιστίνης. πολλοῖς δὲ σταθμοῖς ἀφέστηκεν ἡ Βαβυλὼν τῆς Παλαιστίνης.

π 67 Παλαίστρα: τὸ γυμνάσιον. εὑρὼν δὲ πεδίον ὕπτιον καὶ καλὸν εἰς χρῆσιν ἵππων καὶ φάλαγγος ἐκάθαιρε καὶ διέσκαπτε καὶ τῷ πολέμῳ παλαίστρας ἐποίει.

π 68 Παλαίτατος: ὁ παλαιός.

π 69 Παλαίφατος, Ἀθήνησιν ἐποποιός, υἱὸς Ἀκταίου καὶ Βοιοῦς, οἱ δὲ Ἰοκλέους φασὶ καὶ Μετανείρας· οἱ δὲ Ἑρμοῦ. γέγονε δὲ κατὰ μέν τινας μετὰ Φημονόην, κατὰ δὲ ἄλλους καὶ πρὸ αὐτῆς. ἔγραψε δὲ Κοσμοποιΐαν εἰς ἔπη ͵ε', Ἀπόλλωνος καὶ Ἀρτέμιδος γονάς, ἔπη ͵γ', Ἀφροδίτης καὶ Ἔρωτος λόγους καὶ φωνὰς ἔπη ͵ε', Ἀθηνᾶς ἔριν καὶ Ποσειδῶνος ἔπη ͵α', Λητοῦς πλόκαμον.

π 70 Παλαίφατος, Πάριος ἢ Πριηνεύς, γεγονὼς κατὰ Ἀρταξέρξην. Ἀπίστων βιβλία ε'· Τρωικῶν βιβλία ε'· τινὲς δὲ ταῦτα εἰς τὸν Ἀθηναῖον ἀναφέρουσι· πλὴν καὶ οὗτος ἔγραψε.

π 71 Παλαίφατος, Ἀβυδηνός, ἱστορικός. Κυπριακά, Ἀττικά, Δηλιακά, Ἀραβικά. γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος· παιδικὰ δὲ Ἀριστοτέλους τοῦ φιλοσόφου, ὡς Φίλων ἐν τῷ ε στοιχείῳ τοῦ περὶ παραδόξου ἱστορίας βιβλίον α' καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρῳ Τρωϊκῶν.

π 72 Παλαίφατος, Αἰγύπτιος ἢ Ἀθηναῖος, γραμματικός. Αἰγυπτιακὴν θεολογίαν, Μυθικῶν βιβλίον α', Λύσεις τῶν μυθικῶς εἰρημένων, Ὑποθέσεις εἰς Σιμωνίδην, Τρωϊκά· ἅ τινες εἰς τὸν Ἀθηναῖον, τινὲς δὲ εἰς τὸν Πάριον ἀνήνεγκαν. ἔγραψε καὶ ἱστορίαν ἰδίαν.

π 73 Παλαιφάτου: παλαιᾶς, καὶ ἀρχαίας· περὶ ἧς ἔφασαν ἔκπαλαι μύθους.

π 74 Παλεός: ὁ σκώπτης. τίθεται καὶ ἐπὶ τοῦ ἄφρονος.

π 75 Παλεῦσαι: ἐξαπατῆσαι, ὑπαγαγέσθαι. καὶ παροιμία· Παλεύει καλῶς τὴν ἀλώπεκα. καὶ Παλεύτρια, περιστερὰ πλάνος. Ἀριστοφάνης Ὄρνισι· κἀπαναγκάζει παλεύειν ἐν δικτύῳ. εἰώθασι γὰρ ἐκτυφλοῦν τινα τῶν ὀρνέων καὶ ἱστᾶν ἐν δικτύῳ.

π 76 Πάλλει: κινεῖ, σείεται, ἅλλεται. καὶ ἐπὶ τῷδε τὸν θυμὸν συνελέξατο ὁ βάρβαρος καὶ τῷ πάλλεσθαι ὑπὸ τῷ τρόμῳ ἔληξε.

π 77 Παλληναῖος: ὁ ἀπὸ Παλλήνης χώρας.

π 78 Παλληνεύς: Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα Παλλήνηθεν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δέ ἐστι καὶ ἐν Θρᾴκῃ Παλλήνη, γνώριμον.

π 79

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παλλήνη: μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

π 80 Παλληνικὸν βλέπειν: ἀντὶ τοῦ γενναῖον. Παλλήνη δὲ δῆμος τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις μὴ βουλομένοις συνέστη πόλεμος. βλέπειν δὲ Παλληνικὸν βούλεται εἰπεῖν ὠμῶς διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν ἐχθρόν, ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. ἢ Βαλλήνη, κατὰ συγγένειαν τοῦ β πρὸς τὸ π, παρὰ τὸ βάλλειν λίθοις. θέλει γὰρ εἰπεῖν, ὅτι δεῖ ζητεῖν τὸν ἐχθρὸν καὶ λιθολευστεῖν αὐτόν.

π 81 Παλίγκοτος: ὀργίλος, στυγνός, φοβερός, ἐναντίος. Ἀριστοφάνης· μὴ γένῃ παλίγκοτος ἀντιβολοῦσιν ἡμῖν, ἤγουν μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς καὶ πάλιν μετανοήσῃς, ἐφ᾽ οἷς ἡμᾶς εὐεργετεῖν διέγνως. καὶ ἐν Ἐπιγράμμασι· Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἓν δέ τι καλὸν ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας.

π 82 Παλίγκυρτος: ἁλιευτικὸν ἀγγεῖον. Πολύβιος· τῶν γὰρ πολεμίων αὐτομάτως καθάπερ ἐς παλίγκυρτον αὑτοὺς καθεικότων, δυνάμενος κρατῆσαι τῶν ἐχθρῶν τούτους παρέλιπε.

π 83 Παλίλλογα: παλισύλλεκτα.

π 84 Παλιλλογία: ταυτολογία.

π 85 Παλιμβαλής: ὁ ἀνάταυρα πεσών. ὁ ὕπτιος.

π 86 Παλίμβιος: ὡς ἐξ ἀναβιώσεως.

π 87 Παλιμβολία: ἡ εὐμετάβλητος γνώμη. Ἀγαθίας· τῶν δὲ στρατηγῶν πολλὴ μὲν ὑπῆρχε παράταξις, πολλαὶ δὲ φρουραὶ καὶ ἀγρυπνίαι καὶ ἀνὰ τὰ πλήθη περινοστήσεις, ἐλπὶς καὶ δέος καὶ παλιμβολία.

π 88 Παλίμβολον: ἀβέβαιον, ἄπιστον. τὸ γὰρ Σκυθικὸν εἶναι παλίμβολον.

π 89 Παλίμβολος: ἀδόκιμος, εὐμετάβολος, ἀνελεύθερος. Κλήμης. δύναται καὶ ἀντὶ τοῦ παλίμβολος ἐναντιόβολος, ἐναντιογνώμων, ὡς καὶ παλίνδης ὄνομα.

π 90 Παλιμπετής: ὀπισθόρμητος.

π 91 Παλίμφημα: δύσφημα, κακά, ἐναντία.

π 92 Παλινάγγελος: ὀπίσω ἐπανελθὼν ἄγγελος.

π 93 Παλινάγρετον: πάλιν καὶ αὖθις ὑστερόληπτον. ἢ ἀφ᾽ οὗ δύναταί τις πάλιν διεγερθῆναι.

π 94 Παλιγκάπηλος: ὁ μεταπράτης.

π 95 Παλινδικεῖ: ἐπισυνάπτει δίκην. καὶ παλινδικίαν διδοὺς τοῖς ἀδίκως καταδικασθεῖσι.

π 96 Παλίνδρομος: ὀπισθόρμητος. πέμψας αὐτῷ μνᾶς εἴκοσι παλινδρόμους ἀπέλαβε.

π 97 Παλινδρομῶν: ὑποστρέφων.

π 98 Παλιναίρετα: τὰ ἐπεσκευασμένα, καὶ οἷον ἐπίγναφα· οὐ καινὰ δέ, οὐδὲ ὑγιῆ.

π 99 Παλιναίρετος· Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε δὲ αἱρετὸν λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινας, ἔπειτα λαμβάνων δῶρα, τούτοις αὐτοῖς ἐβοήθει· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο καὶ διὰ τοῦτο ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν, ἣν ὤφειλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν. ἐκάλουν δὲ τοὺς τοιούτους παλιναιρέτους· ἀλλὰ καὶ τοὺς ἀποχειροτονηθέντας ἀρχήν τινα ἄρχειν καὶ πάλιν χειροτονηθέντας. Πίνδαρος δὲ ἐν Διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει.

π 100 Παλινοδία: ἐναντία ὁδός. Παλινῳδία δὲ ἐναντία ᾠδή, ἢ τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. καὶ ῥῆμα Παλινῳδῶ. καὶ παροιμία· Ἄιδων παλινῳδίαν.

π 101

Παλίνορσος: ὀπισθόρμητος.

π 102 Παλινοστήσας: ἐπανελθών.

π 103 Παλίνωρον: παλινόρμητον. διπλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρμώμενον ποιεῖν. Ἀριστοφάνης· τὸ σφυρὸν παλίνωρον ἐξεκόκκισε.

π 104 Παλίνσκιον: Ἰσαῖος μὲν ἀντὶ τοῦ σύσκιον, Ἀρχίλοχος δὲ ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς· χειμῶνι παλινσκίῳ. ἀντὶ τοῦ ζοφερῷ.

π 105 Παλινσκίῳ: σκοτεινῷ· τὸ γὰρ πάλιν ἐπίτασιν δηλοῖ, ὡς παλιγκάπηλος καὶ παλίμπρατος. ἡ κοινὴ συνήθεια παλίνσκια λέγει τὰ μὴ ὑπὸ τοῦ ἡλίου θερμαινόμενα πεδία.

π 106 Παλιντράπελον: ἀντίστροφον, ἐναντίον, ἀντεστραμμένον.

π 107 Παλιντριβῆ· Σοφοκλῆς· πῶς οὐδὲν κακὸν ἀπώλετο. ἀλλ’ εὖ περιστέλλουσιν αὐτὰ δαίμονες, καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ χαίρους’ ἀναστρέφοντες ἐξ ᾅδου, τὰ δὲ δίκαια καὶ χρήστ’ ἀποστέλλους’ ἀεί.

π 108 Παλίντροπος: ὀπισθόρμητος. γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο παῖδ’ ἑὸν ἐς πάτραν ὠκὺν ἱέντα πόδα.

π 109 Παλίουρος: εἶδος φυτοῦ ἀκανθώδους.

π 110 Παλίωξις: ἡ ἐξ ἐπιστροφῆς δίωξις· ὅταν οἱ φεύγοντες μεταβαλλόμενοι διώκωσιν. Ἀγαθίας· οἱ δὲ Ῥωμαῖοι σφᾶς αὐτοὺς ἐξελίξαντες ὑπηντίαζον τοῖς διώκουσιν ἀντιμέτωποι καὶ παίοντες ἀφειδῶς ἀντώθουν, καὶ ἐς παλίωξιν τὰ τῆς φυγῆς μετεχώρει.

π 111 Παλιρρόθιον: εἰς τοὐπίσω ἐφωρμηκός.

π 112 Παλίρροια.

π 113 Παλμικὸν οἰώνισμα· ὅπερ Ποσειδώνιος συνεγράψατο· οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει.

π 114 Παλμουλάριος: ὄνομα κύριον.

π 115 Παλλόμενον: ἁλλόμενον, πληρούμενον.

π 116 Πάλος: κλῆρος. ὁ δὲ Δαρεῖος τούτους κελεύει πάλλεσθαι· παλλομένων δέ, λαγχάνει ἐκ πάντων Βαγαῖος.

π 117 Παλμός: τρόμος, σεισμός.

π 118 Παλτά: τὰ δόρατα. ὁ δὲ Κῦρος ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ ἐπὶ τὰς χεῖρας ἔλαβε. καὶ Ἀρριανός· ἐξηκόντιζον εἰς τοὺς προμαχομένους τοῦ τείχους, οἱ μὲν παλτά, οἱ δὲ λίθους, οἱ δὲ τοξεύματα. ἐν δὲ τῇ δεξιᾷ ἔχων παλτὸν ὡς ἑξάπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές.

π 119 Παλτάρια: σεμίδαλις.

π 120 Παλυνομένης: λευκαινομένης. τῆς χώρας τῶν Σκυθῶν θαμὰ νιφετῷ παλυνομένης.

π 121 Παμμάχιον: παγκράτιον.

π 122 Πάμβαξ καὶ Παμβακίς: τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον. καὶ τὴν τρυτοδόκην κοιτίδα παμβακίδων.

π 123 Πάμβορον: κάκοσμον. Ἰώσηπος· τὸ πάμβορον γεγενήκοι βορὰν ἡδεῖαν ἐξ αὐτοῦ. τὸν λέοντα σημαίνων καὶ κηρία μέλιτος.

π 124 Παμβορώτατον.

π 125 Παμβωτάδες· Παμβῶται δῆμος τῆς Ἐρεχθηΐδος.

π 126 Παμμήστορα: πάντων τεχνίτην.

π 127 Πάμπαν: παντελῶς. Δράκων δὲ ὁ Στρατονικεὺς συναλοιφὴν εἶναί φησιν ἐκ τοῦ. παντάπασι.

π 128 Παμπήδην: παντελῶς.

π 129 Παμπησίαν: πᾶσαν τὴν κτῆσιν. σὺ δ’, ὦ Σίκων καὶ Ξενόφαντες, αἵρεσθε τὴν παμπησίαν.

π 130 Παμπόλη: ὄνομα πόλεως.

π 131 Παμπόλλη: ἡ πολλὴ καὶ ποικίλη.

π 132 Πάμπλειστος.

π 133 Παμπλήγδην.

π 134 Παμπληθεί· καὶ Πάμπληθες, ἀντὶ τοῦ πολύ.

π 135 Παμπληθεῖς: πάνυ πολλάς.

π 136 Παμπρέπιος, Πανοπολίτης, ἐπῶν ποιητής, ἀκμάσας κατὰ Ζήνωνα τὸν βασιλέα. ἔγραψεν Ἐτυμολογιῶν ἀπόδοσιν, Ἰσαυρικὰ καταλογάδην.

π 137 Παμπρέπιος· οὗτος μέγα παρὰ Ζήνωνι ἐδυνήθη· γένος μὲν ὢν Θηβαῖος τῶν κατὰ τὴν Αἴγυπτον, φύσει δὲ πρὸς ἅπαντα δεξιᾷ χρησάμενος ἔρχεται εἰς Ἀθήνας, καὶ παρὰ τῆς πόλεως γραμματικὸς αἱρεθεὶς συχνά τε ἐπαίδευσεν ἔτη καὶ ἐπαιδεύθη ὁμοῦ, ὅσα ἦν σοφώτερα, ὑπὸ τῷ μεγάλῳ Πρόκλῳ. διαβολῆς δὲ αὐτῷ πρὸς Θεαγένην τινὰ τῶν ἐκεῖ γενομένων συστάσης, ὑβρισθεὶς ὑπ’ ἐκείνου καὶ μείζονος ἢ ἐχρῆν διδάσκαλον ὑπ’ αὐτοῦ πειραθεὶς σκευωρίας ἦλθεν ἐς Βυζάντιον, τὰ μὲν ἄλλα ἀγαθὸς καὶ χρηστὸς φαινόμενος, ὡς δὲ ἐν Χριστιανοὺς πάντας ἐχούσῃ πόλει τὸ Ἑλληνικὸν αὐτοῦ τῆς θρησκείας οὐκ ἔχον ὑπόκρισιν, ἀλλὰ μετὰ παρρησίας προδήλως δεικνύμενον, εἰς τὴν τοῦ καὶ ἕτερα τῆς ἀρρήτου σοφίας εἰδέναι ὑπόνοιαν ἦγε. συσταθέντα δὲ αὐτὸν ὁ Ἴλλους μάγιστρος ἡδέως δέχεται, καί τι καὶ δημοσίᾳ ποίημα ἀναγνόντα λαμπρῶς τε ἐτίμησε καὶ σύνταξιν ἔδωκε, τὴν μὲν αὐτὸς ἰδίᾳ, τὴν δὲ ὡς διδασκάλῳ καὶ ἐκ τοῦ δημοσίου. καὶ ἀπελθόντος δὲ αὐτοῦ ἐπὶ τὴν Ἰσαυρίαν, οἱ βασκαίνοντες αὐτῷ συνθέντες διαβολὴν τήν τε ἐκ τῆς θρησκείας καὶ ὅτι μαγγανεύοι καὶ μαντεύοιτο τῷ Ἴλλου κατὰ τοῦ βασιλέως, πείθουσι τὸν Ζήνωνα καὶ τὴν Βηρίναν τότε μέγιστα δυναμένην τῆς πόλεως ἐκπέμψαι. καὶ ὁ μὲν ἐς Πέργαμον ἔρχεται τῆς Μυσίας· Ἴλλους δὲ πυθόμενος κατὰ τὴν αὐτοῦ πρόφασιν ἐληλάσθαι τὸν ἄνδρα, πέμψας ἀναλαμβάνει αὐτὸν ἐς Ἰσαυρίαν καὶ σύμβουλόν τε αὐτὸν καὶ σύνοικον ποιεῖται, καί, ἦν γὰρ πολιτικῆς συνέσεως ἔμπλεως, καὶ τὰ τῆς ἀρχῆς αὐτῷ πρὸς ἃ μὴ σχολὴν ἦγε διοικεῖν ἐπέτρεπεν, ἐλθών τε ἐς Βυζάντιον συμπαρέλαβεν αὐτόν. καὶ ὅτε ἐγένετο ἡ Μαρκιανοῦ σύστασις, ἀποροῦντα τὸν Ἴλλουν αὐτὸς ἐπεθάρσυνε, καὶ τοσοῦτόν γε εἰπὼν ὅτι τὰ τῆς προνοίας μεθ’ ἡμῶν ἐστι τεταγμένα, παρέσχεν ὑποψίαν τοῖς τότε ὑπακούσασιν ὡς ἔκ τινος ἀδήλου ταῦτα θειάζοι προγνώσεως. καὶ ἐκβάντος, ὥσπερ δὴ καὶ ἐξέβη, τοῦ τέλους, πρὸς τὴν τύχην τὸν λόγον ἐκείνου συμβάλλοντες, αὐτὸν πάντων αἴτιον, οἷα φιλεῖ ὅμιλος, μόνον ὑπελάμβανον τῶν παραδόξως αὐτοῖς ἀποβαίνειν δοκούντων. οὕτω μὲν οἱ σώφρονες περὶ αὐτοῦ εἴκαζον. εἰ δέ τι καὶ ἄλλο ἦν, οὔτε ἰσχυρῶς ἀνελεῖν οὔτε πείθεσθαι ἔχω· ἀλλ’ ὁμοίως καὶ μέγα καὶ ἐλάχιστον αὐτῷ πρώτῳ ἀνεκοινοῦτο. καὶ τότε τοίνυν αὐτὸν λαβὼν ἐς Νίκαιαν ἧκε χειμάσων, εἴτε τὴν ἐκ τοῦ δήμου δυσχέρειαν ἐκκλίνων εἴτε ἐπὶ ταῖς σφαγαῖς τὸν ἔχοντα τὴν πόλιν ἐκτρέπεσθαι δαίμονα πρὸς ὀλίγον ἐθέλων. ὅτι ὁ Ἴλλους, φιλολόγος ὢν ὑπὸ παρουσίαν ἀνδρῶν λογίων διεξοδικὸν περὶ ψυχῆς ἐβούλετο ἀκοῦσαι λόγον. πολλῶν δὲ τῶν παρατυχόντων πρὸς πεῦσιν αὐτοῦ ποικίλα φιλοσοφησάντων, ἐπεὶ ἐξ ἀσυμφωνίας ὁ λόγος ἀσύστατος ὤφθη, Μάριος ἔφη, δύνασθαι Παμπρέπιον τὸ προβληθὲν ἀδιαπτώτως ἐπιλύειν. ἦν δὲ οὗτος μέλας τὴν χροιάν, εἰδεχθὴς τὰς ὄψεις, γραμματιστὴς τὴν ἐπιστήμην, ἐκ Πανὸς ὁρμώμενος τῆς ἐν Αἰγύπτῳ, πολὺν χρόνον κατ’ ἐπιγαμίαν διατρίψας ἐν Ἑλλάδι. ἀχθεὶς οὖν παρὰ Μάρσου πρὸς Ἴλλουν καὶ διελθὼν λόγον περὶ ψυχῆς ἐκ χρόνου κομψῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεφροντισμένον, ἐπεὶ ὁ οὐκ εἰδὼς τοῦ εἰδότος ἐν οὐκ εἰδόσιν, ὡς εἶπε Πλάτων, πιθανώτερος ὑπάρχει, φενακισθεὶς Ἴλλους μεμεριμνημένῃ στωμυλίᾳ, λογιώτερον αὐτὸν πάντων ἔκρινε τῶν παιδευτῶν τῆς Κωνσταντίνου. διὸ καὶ πολλὴν δοὺς αὐτῷ ἐκ δημοσίων παραμυθίαν, τοὺς φοιτῶντας ἐς μουσεῖα κατ' ἐκλογὴν ἐκέλευσε παιδεύειν. ἡ μὲν οὖν εὐδαιμονία τούτου τοιαύτην ἀφορμὴν λαβοῦσα πολλῶν αἰτία ἀτυχημάτων γέγονε τῇ πολιτείᾳ. ἦν δὲ ὁ Παμπρέπιος Αἰγύπτιος. ποιητικὸς δὲ ὢν καὶ πρὸς ποίησιν εὐφυὴς ἀφίκετο καὶ Ἀθήναζε, κατὰ τὴν ποιητικὴν ἐπιτήδευσιν τὰ ἀναγκαῖα τῷ βίῳ προσποριούμενος. οἱ δὲ Ἀθηναῖοι γραμματικὸν αὐτὸν ἐποιήσαντο καὶ ἐπὶ νέοις διδάσκαλον ἔστησαν. ὁ δὲ φιλότιμος ὢν καὶ οὐδενὸς ἐθέλων φαίνεσθαι δεύτερος, ἁμιλλώμενος ἦν πρὸς ἅπαντας, πλὴν μόνου Πρόκλου καὶ τῶν ἄλλων φιλοσόφων. τῆς δὲ οὐχ οἷός τε ἦν οὐδὲ ἅπτεσθαι τῆς σοφίας. περὶ δ' οὖν τὴν ἄλλην προπαιδείαν οὕτω διεπονεῖτο καὶ ἐς τοσοῦτον διεγυμνάζετο ὁ Παμπρέπιος, ὥστε ἐν ὀλίγῳ χρόνῳ λογιμώτατος εἶναι ἔδοξε καὶ πολυμαθέστατος τῶν αὐτόθι παιδείας μετειληχότων, Πλουτάρχου τε τοῦ Ἱερίου, ἀνδρὸς Ἀθηναίου, καὶ Ἀλεξανδρέως Ἑρμείου τοῦ ῥήτορος, ὧν τὸ κλέος ὑπερβαλεῖν ἐσπουδάκει τῆς πολυμαθίας. τέως μὲν τοίνυν ἐτιμᾶτο πρὸς τῶν Ἀθηναίων, οἷα διδάσκαλος οὐκ ἀγεννής· μετὰ δὲ ταῦτα ἀρχὴ ἑτέρων πραγμάτων αὐτὸν διαδέχεται μεγίστων τε καὶ κακίστων, ἵνα μάθωμεν τὰς τῆς τύχης μεταβολὰς ἐλεγχούσας ἑκάστοτε τῶν ψυχῶν τὰς παντοίας προαιρέσεις οὐδὲ μιᾶς ἧττον μέθης συμποτικῆς.

π 138 Παμφαής: ἡ πᾶσι φαίνουσα φαιδρότης.

π 139 Παμφίλη, Ἐπιδαυρία, σοφή, θυγάτηρ Σωτηρίδου, οὗ λέγεται εἶναι καὶ τὰ συντάγματα, ὡς Διονύσιος ἐν τῷ λʹ τῆς Μουσικῆς ἱστορίας· ὡς δὲ ἕτεροι γεγράφασι Σωκρατίδα τοῦ ἀνδρὸς αὐτῆς. Ἱστορικὰ ὑπομνήματα ἐν βιβλίοις λγʹ, Ἐπιτομὴν τῶν Κτησίου ἐν βιβλίοις γʹ, ἐπιτομὰς ἱστοριῶν τε καὶ ἑτέρων βιβλίων παμπλείστας, Περὶ ἀμφισβητήσεων, Περὶ ἀφροδισίων καὶ ἄλλων πολλῶν.

π 140 Παμφιλίδας, Ῥοδίων ναύαρχος· ὃς ἐδόκει πρὸς πάντας τοὺς καιροὺς εὐαρμοστότερος εἶναι τοῦ Πασιστράτου, διὰ τὸ βαθύτερος φύσει καὶ στασιμώτερος μᾶλλον ἢ τολμηρότερος ὑπάρχειν. ἀγαθοὶ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἐκ τῶν κατὰ λόγον, ἀλλ' ἐκ τῶν συμβαινόντων ποιεῖσθαι τὰς διαλήψεις.

π 141 Πάμφιλος, Ἀμφιπολίτης ἢ Σικυώνιος ἢ Νικοπολίτης, φιλόσοφος, ὁ ἐπικληθεὶς Φιλοπράγματος. Εἰκόνας κατὰ στοιχεῖον, Τέχνην γραμματικήν, Περὶ γραφικῆς καὶ ζωγράφων ἐνδόξων, Γεωργικὰ βιβλία γʹ.

π 142 Πάμφιλος, Ἀλεξανδρεύς, γραμματικὸς Ἀριστάρχειος. ἔγραψε Λειμῶνα· ἔστι δὲ ποικίλων περιοχή, Περὶ γλωσσῶν ἤτοι λέξεων βιβλία ϟεʹ· ἔστι δὲ ἀπὸ τοῦ ε στοιχείου ἕως τοῦ ω· τὰ γὰρ ἀπὸ τοῦ α μέχρι τοῦ δ Ζωπυρίων ἐπεποιήκει. Εἰς τὰ Νικάνδρου ἀνεξήγητα καὶ τὰ καλούμενα Ὀπικά, Τέχνην κριτικήν, καὶ ἄλλα πλεῖστα γραμματικά.

π 143 Πάμφιλος· οὗτος ἀεὶ ἔμμετρα ἔλεγεν ἐν τοῖς πότοις. ἔγχει πιεῖν μοι καὶ τὸ πέρδικος σκέλος. ἀμίδα δότω τις ἢ πλακοῦντά τις δότω. οὕτως Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

π 144 Πάμφιλος, δημαγωγὸς Ἀθήνησι. καὶ ἔκλεπτε τὰ τοῦ δήμου καὶ φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη, ὥς φησιν Ἀριστοφάνης.

π 145 Πάμφορος: παντοῖα φέρων.

π 146 Πάμψυχος: ὁ Ἀμφιάραος, ὅτι πασῶν ψυχῶν ἀνάσσει ἐν ᾅδου· ἢ ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν· ἢ ὁ διαπαντὸς τὴν ψυχὴν σῴζων, ὅ ἐστιν ἀθάνατος.

π 147 Πάν: ὄνομα θεοῦ Ἑλληνικοῦ. τραγοσκελής. φιλέρημος, ἀπράγμων καὶ πόνον ἔχων νεβρίδιον, καὶ καλαυρόπιον καὶ συρίγγιον. καὶ ζήτει περὶ τούτου ἐν τῷ ἁλίπλαγκτος.

π 148

Πάν, Πανός. ὅτι Αἴσωπος, ὁ Μιθριδάτου ἀναγνώστης, ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησι Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα.

π 149 Πᾶν· τὸ πᾶν ἐστιν ὅ τε κόσμος καὶ καθ' ἕτερον τρόπον τὸ ἐκ τοῦ κόσμου καὶ τοῦ ἔξωθεν κενοῦ συστήματος. ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐστί, τὸ δὲ κενὸν ἄπειρον. τῶν δὲ ἀστέρων τὰ μὲν ἀπλανῆ συμφέρεσθαι τῷ οὐρανῷ τὰ δὲ πλανώμενα κατ' ἰδίας κινήσεις κινεῖσθαι. τὸν δὲ ἥλιον λοξὴν τὴν πορείαν ποιεῖσθαι διὰ τοῦ ζωδιακοῦ κύκλου, ὁμοίως τε τὴν σελήνην ἑλικοειδῆ. εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ καὶ μείζονα τῆς γῆς καὶ σφαιροειδῆ, ἀναλόγως τῷ κόσμῳ. πῦρ μὲν οὖν εἶναι, ὅτι τὰ πυρὸς πάντα ποιεῖ· μείζω δὲ τῆς γῆς τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν. καὶ τῷ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἐπιβάλλειν τὸ μείζονα εἶναι σημαίνει· πάντοθεν δὲ βλέπεσθαι διὰ τὸ μέγεθος. γεωδεστέραν δὲ τὴν σελήνην, ἅτε καὶ προσγειοτέραν οὖσαν. τρέφεσθαι δὲ τὰ ἔμπυρα ταῦτα καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης νωθρὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν καὶ πρόσγειον οὖσαν· τὰ δὲ ἄλλα ἀπὸ γῆς. δοκεῖ δὲ αὐτοῖς σφαιροειδῆ εἶναι καὶ τὰ ἄστρα καὶ τὴν γῆν ἀκίνητον οὖσαν. τὴν δὲ σελήνην οὐκ ἴδιον ἔχειν φῶς, ἀλλ' ἀπὸ ἡλίου λαμβάνειν ἐπιλαμπομένην. ἐκλείπειν δὲ τὸν ἥλιον, ἐπιπροσθούσης αὐτῷ τῆς σελήνης κατὰ τὸ ἐφ' ἡμᾶς μέρος. φαίνεται γὰρ ὑπερχομένη ταῖς συνόδοις καὶ ἀποκρύπτουσα αὐτὸν καὶ πάλιν παραλλάττουσα· γνωρίζεται δὲ τοῦτο διὰ λεκάνης ὕδωρ ἐχούσης. τὴν δὲ σελήνην ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς ἀποσκίασμα· ὅθεν καὶ ταῖς πανσέληνοις ἐκλείπειν, καίπερ κατὰ διάμετρον ἱσταμένην κατὰ μῆνα τῷ ἡλίῳ, ὅτι κατὰ λοξοῦ ὡς πρὸς τὸν ἥλιον κινουμένη παραλλάττει τῷ πλάτει, ἢ βορειοτέρα ἢ νοτιωτέρα γινομένη. ὅταν μέντοι τὸ πλάτος αὐτῆς κατὰ τῶν ἡλιακῶν καὶ τῶν διὰ μέσων γένηται, εἶτα διαμετρήσῃ τὸν ἥλιον, τότε ἐκλείπει. γίνεται δὲ τὸ πλάτος αὐτῆς κατὰ τῶν ἡλιακῶν καὶ τῶν διὰ μέσων ἐν Χηλαῖς καὶ Σκορπίῳ καὶ Κριῷ καὶ Ταύρῳ.

π 150 Παναγές: καθαρόν· ἄγος γὰρ καὶ ἁγνεία καὶ μύσος, κατ' ἀντίφρασιν. ἡ δὲ ἔθει καὶ πᾶσαι μετ' αὐτῆς ἀρρηφόροι καὶ παναγεῖς γυναῖκες, καὶ πολὺν χρόνον ἔκπληξις αὐτοὺς κατεῖχε καὶ σκότος.

π 151 Παναθήναια: Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γενομένῳ συνοικισμῷ. πρῶτον ὑπὸ Ἐριχθονίου, τοῦ Ἡφαίστου καὶ τῆς Ἀθηνᾶς, ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια, οὐ πρεσβύτερος, καὶ ἀγένειος καὶ ἀνήρ. τῷ δὲ νικῶντι δίδοται ἆθλον ἔλαιον ἀμφιφορεῦσι, καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ.

π 152 Παναθήναια: διττὰ Παναθήναια ἤγετο Ἀθήνησι, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτόν, τὰ δὲ διὰ πενταετηρίδος, ἃ καὶ μεγάλα ἐκάλουν. ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος ὁ Ἡφαίστου. τὰ δὲ Παναθήναια πρότερον Ἀθήναια ἐκαλοῦντο.

π 153 Πανάκεια: θεραπεία. καὶ ὄνομα θεᾶς.

π 154 Πάνακτος: πόλις μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας. Θουκυδίδης δὲ καὶ οὐδετέρως καλεῖ τὸ χωρίον, Μένανδρος δὲ ἀρρενικῶς.

π 155 Παναλκές: ἰσχυρότατον.

π 156 Πανάνυτον: πάντα δυνατόν.

π 157 Παναώριος· ἐν Ἐπιγράμμασι· καὶ γάρ που λαγόνεσσι ῥυτὶς παναώριος ἤδη. πρὸ τῆς ὥρας.

π 158 Πανάπυστος: ἀνήκοος.

π 159 Παναριστίδης: ὄνομα κύριον.

π 160 Πανάρεια.

π 161 Παναρκέος: τοῦ μεγάλου καὶ δυνατοῦ. ἡλίου δὲ παναρκέος. τοῦ πανταχῇ λάμποντος.

π 162 Παναρμόνιον: πάντοθεν ἡρμοσμένον.

π 163 Παναρμόνιον: ἐξ ὅλου τεταγμένον· ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία.

π 164 Παναυγές: πάνυ λαμπρόν.

π 165 Πανδαμάτωρ: πάντας ὑποτάσσων.

π 166 Πανδαισία. ὡς καλὸν ὦ Πόσειδον, τὸ στῖφος αὐτῶν καὶ πυκνὸν καὶ γοργὸν, ὥσπερ μᾶζα καὶ πανδαισία.

π 167 Πανδαισία: ἡ δαψιλὴς καὶ κραταιὰ εὐωχία. μᾶζα δέ ἐστιν ὁ στριφνὸς ἄρτος. ἢ Πανδαισία ἐστίν, ὅταν δεῖπνον ἕκαστος αὑτῷ κομίζων κατατιθῆται, καὶ πάντες πάντων μετέχωσιν. ἢ Πανδαισία, ἡ πάντα ἔχουσα ἄφθονα καὶ μηδὲν ἐλλείπουσα ἐν τῇ δαιτί.

π 168 Πανδαισίας: πολυτελοῦς τραπέζης, εὐωχίας.

π 169 Πανδαίσιον: πολυτελὴς τράπεζα.

π 170 Πανδέκται. οὐκ ἐπέστειλα, ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς πανδέκταις, τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα.

π 171 Πανδελετείους γνώμας: τουτέστι δυστρόπους. ἐπεὶ Πανδέλετος συκοφάντης ἦν καὶ φιλόδικος καὶ γράφων ψηφίσματα, καὶ ἦν εἷς τῶν περὶ τὰ δικαστήρια διατριβόντων. μέμνηται αὐτοῦ καὶ Κρατῖνος ἐν Χείρωσι.

π 172 Πανδερκεῖς: πάντα ὁρῶντες.

π 173 Πάνδεια: ἑορτή τις Ἀθήνησι μετὰ τὰ Διονύσια ἀγομένη.

π 174 Πανδημεί· πότερον πανδημεὶ ἐξεληλάκασιν, ἢ τοὺς ἀπομάχους σφῶν οἴκοι κατέλιπον; πανδημεὶ δὲ καὶ παγγενῆ ἦλθον οἱ Λυδοὶ παρακαλοῦντες.

π 175 Πάνδημος Ἀφροδίτη: οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τοπαλαιὸν, ἃς ἐκάλουν ἀγοράς. ἔστι δὲ τὸ πάνδημον πάγκοινον.

π 176 Πανδήμου: παντὸς τοῦ πλήθους, ἢ παντὸς τοῦ δημώδους καὶ ἀγελαίου ὄχλου. Ἑταίρα ὄνομα, οὐκ ἐκ τοῦ πανδήμου καὶ ἀσελγοῦς ἐπιτηδεύματος.

π 177 Πανδιωνίς: μία τῶν δέκα φυλῶν παρὰ Ἀθηναίοις, ἀπὸ Πανδίωνος τοῦ Ἐριχθονίου κληθεῖσα.

π 178 Πανδοκεύτρια: ἡ καπηλίς· παρὰ τὸ δέχεσθαι πάντας. εἴρηται δὲ καπηλὶς παρὰ τὸ κακύνειν τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπελος οὖσα, ἡ ἐν αὑτῇ ἔχουσα τὸν πηλόν.

π 179 Πάνδοκοι: αἱ πάντας ὑποδεχόμεναι. τοῦτο δὲ ἴσασιν ἤδη περιφερόμενον καὶ αἱ πάνδοκοι γρᾶες. καὶ Πανδοκεῖον, τὸ πάντας ὑποδεχόμενον οἴκημα.

π 180 Πανδοσία: πόλις μία τῶν ἐν Κασωπίᾳ.

π 181 Πανδούρα: μάχαιρα κρεωκόπος. ἡ πηκτίς. ζήτει ἐν τῷ πηκτίς.

π 182 Πάνδροσος: ὄνομα γυναικός.

π 183 Παναίτιος, Ῥόδιος, ὁ πρεσβύτης, φιλόσοφος· οὗ πολὺς ἐν φιλοσόφοις λόγος. φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖστα.

π 184 Παναίτιος, ὁ νεώτερος, Νικαγόρου, Ῥόδιος, φιλόσοφος Στωϊκός, Διογένους γνώριμος, ὃς καθηγήσατο καὶ Σκηπίωνος τοῦ ἐπικληθέντος Ἀφρικανοῦ μετὰ Πολύβιον Μεγαλοπολίτην. ἐτελεύτησε δ’ ἐν Ἀθήναις.

π 185 Παναίτιος, μάγειρος μικροφυὴς ἦν. διαβάλλει δὲ αὐτὸν Ἀριστοφάνης ὡς καταλαβόντα τὴν γυναῖκα αὐτοῦ μοιχευομένην· ἐδυναστεύετο γὰρ ὑπ’ αὐτῆς μεγάλης οὔσης.

π 186 Πάνεμος: ὄνομα μηνός. ὁ Ἰούλιος παρὰ Μακεδόσιν.

π 187 Πάνθειον: τόπος. ἀνὰ τὸ πεδίον τῆς Ῥωμαίων νεὼς ἦν κοινὸς πάντων τῶν θεῶν. Πάνθειον αὐτὸν ἐκάλουν οἱ ἐπιχώριοι.

π 188 Πάνθηρ: ὄνομα κύριον.

π 189 Πάνθηρα.

π 190 Πάνθιος: ὄνομα κύριον.

π 191 Πάνθ’ ὅμοια καὶ Ῥοδῶπις ἡ καλή: ἡ Ῥοδῶπις ἑταίρα ἐγένετο. τοὺς οὖν πολὺ ἀπολέσαντας ἀργύριον, τὸ διάφορον τῆς μίξεως πρὸς τὰς ἄλλας γυναῖκας συνορῶντας, ἐπιφωνεῖν τὸ λεγόμενον.

π 192 Πάνθ’ ὅς’ ἂν θεὸς θέλῃ χ’ ἡ τύχη κατορθοῖ, χωρεῖ κατὰ νοῦν, ἕτερον ἑτέρῳ τούτων κατὰ καιρὸν ἀπαντᾷ: τουτέστιν ὁπόσα ἂν θελήσῃ ὁ θεὸς καὶ ἡ τύχη κατορθοῖ, ταῦτα χωρεῖ κατὰ νοῦν.

π 193 Πάνθοος: ὄνομα κύριον.

π 194 Πάνθους: πανθέατος.

π 195 Πανθοίδης: ὁ τοῦ Πάνθου.

π 196 Πανθοινεί: ἐπίρρημα.

π 197 Πανθοίνην: πανδαισίαν. Βάβριος· λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην, ἔγκατα λαφύσσων, μυελὸν ὀστέων πίνων καὶ σπλάγχνα δάπτων. λέγεται καὶ Πανθοινία. βούλομαι ἑστιάσαι σε πανθοινίαν.

π 198 Πάνθ’ ὑπὸ μηνιθμόν: ἤτοι μετὰ πάσης μήνιδος καὶ χόλου, ἢ κατὰ πάντα τὸν τῆς μήνιδος χρόνον.

π 199 Πάνθυτα: πανσέβαστα. πάνθυτα θέσμι’ ἐξήνυσε. πανσέβαστα νόμιμα ἐξεπλήρωσε.

π 200 Πανηγυρίζω· δοτικῇ.

π 201 Πανικῷ δείματι: τοῦτο γίνεται ἐπὶ τῶν στρατοπέδων, ἡνίκα αἰφνίδιον οἵ τε ἵπποι καὶ οἱ ἄνθρωποι ἐκταραχθῶσι, μηδεμιᾶς αἰτίας προφανείσης. τῷ δὲ Πανὶ εἰώθεισαν ὀργιάζειν αἱ γυναῖκες μετὰ κραυγῆς. καὶ Μένανδρος ἐν Δυσκόλῳ, σιωπῇ φησι τούτῳ τῷ θεῷ οὐ δεῖν προσιέναι. ἢ ὅτι τὰ ἄνευ αἰτίας τῷ Πανὶ ἀνετίθεσαν· δοξάζεται γὰρ πολεμίων ἔφοδος εἶναι· καὶ ἀναλαμβάνοντες ὅπλα ὑπὸ ταραχῆς, ἀνθιστάμενοι ἀλλήλοις μάχονται. ἐν Ἐπιγράμμασι· Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς κνακὸν ὑπηνήταν τόνδ’ ἀνέθηκε τράγον. τοῦτο γίνεται περὶ τοὺς πολέμους· Θεοδώρου τοῦ Ῥοδίων στρατηγοῦ ἐν ὑπομνήμασι λέγοντος, ὅτι κράτιστόν ἐστιν ἐν τοῖς τοιούτοις καιροῖς μένειν ἐπὶ τῶν ὅπλων καὶ τὴν ἡσυχίαν ἔχειν· αὐτός τε περιθέων ἐβόα καὶ διὰ τῶν ὑπηρετῶν παρήγγειλε μένειν ἐν ταῖς σκηναῖς καθωπλισμένους ἅπαντας. καὶ παροιμία.

π 202 Πάνιον: ὄνομα τόπου. ἔνθα καὶ κάστρον παρὰ αἰγιαλῷ, ὃ λέγεται Πάνιον, πρὸς τοῖς τῆς Ἡρακλείας μέρεσι.

π 203 Πανιώνιος κρατήρ.

π 204 Πανόλβιος, ἐπῶν ποιητής. ἔγραψε διάφορα καὶ πρὸς Αἰθέριον μετὰ τὴν νόσον δι’ ἐπῶν· καὶ πρὸς Ἐρύθριον καὶ πρὸς Δωρόθεον ἡγεμόνα καὶ κόμητα· καὶ εἰς Ἀφθόνιον κόμητα· καὶ ἐπιτάφιον Ὑπατίας θυγατρὸς Ἐρυθρίου.

π 205 Πανομφαίῳ: ᾧ πᾶσα φήμη καὶ μαντεία ἀναφαίνεται.

π 206 Παννονία: χώρα.

π 207 Πανοπεύς.

π 208 Πανόπη: ὄνομα. καὶ Πανοπηϊάδης, πατρωνυμικόν.

π 209 Πανόπτης: πολυόφθαλμος.

π 210 Πανόπτρια.

π 211 Πανοσπρία: ἡ ἐκ τῶν ὀσπρίων μῖξις.

π 212 Πανοῦργος: ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. λέγεται δὲ καὶ ὁ πάνυ φρόνιμος καὶ ὁ πάντα ἐπιστάμενος. τὸ δὲ Πανοῦργε ἡμεῖς μὲν μετριώτερόν φαμεν, Ἀττικοὶ δὲ ἐπὶ σφοδραῖς βλασφημίαις. Ἀριστοφάνης· πανοῦργον, καὶ πανοῦργον· πολλάκις γὰρ αὔτ’ ἐρῶ· καὶ γὰρ οὗτος ἦν πολλάκις τῆς ἡμέρας πανοῦργος. καὶ Πανουργιππαρχίδας. τούτους κωμῳδεῖ ὡς πανούργους, τὸν Τισαμενὸν καὶ τὸν Φαίνιππον καὶ τὸν Ἱππαρχίδην καὶ τὸν γέροντα τὸν φαλακρὸν καὶ τὸν Θεόδωρον, Διομειαλαζόνας δὲ ἀπὸ Διομείων τοῦ δήμου, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου. ὅτι τὸν πανοῦργον εἰς τὸν φρόνιμον μεταλαμβάνουσι. καὶ ζήτει ἐν τῷ ἐγκράτεια.

π 213 Πανωλεθρία. καὶ Πανώλης, ὁ πανώλεθρος.

π 214 Πανσελήνῳ· Ἀριστοφάνης φησὶ περὶ Κλεωνύμου· πόσου τὸν πρωκτὸν συνήγαγε; καί φησι, τῇ πανσελήνῳ. διότι οἱ Ἕλληνες πάντα πρὸς τὴν σελήνην ἔπραττον ἀποβλέποντες. Δάτιδος γοῦν καὶ Ἀντιφέρνους στρατηγῶν τοῦ Περσῶν βασιλέως ἐς Μαραθῶνα ἐμβεβληκότων, περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. καὶ πρὶν τοὺς Λακεδαιμονίους παραγενέσθαι, κατώρθωσαν Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν Ἀριστοφάνης διὰ τὸ ἔθος.

π 215 Πανσθενέστατον: ἰσχυρότατον.

π 216 Πανσπερμία: παγκαρπία.

π 217 Πανστρατί: ὅλῳ τῷ στρατοπέδῳ.

π 218 Πανσυδί: πανστρατιᾷ. καὶ Πανσυδίην.

π 219 Πάντα ἐν ἐλάττονι θέμενοι ἀδεῶς ἐπόρθουν.

π 220 Πάντ’ ἔχεις: πάντ’ ἔγνωκας.

π 221 Πάντα κάλων σείειν: παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων.

π 222 Πάντα κινήσω πέτρον: ὁμοία τῇ πάντα λίθον κίνει· τοῦ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς, φήμη κατεῖχεν, ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίπει. πριάμενος οὖν Πολυκράτης ὁ Ἀθηναῖος τὸν τόπον πολὺν χρόνον ἐζήτει. ὡς δὲ οὐδὲν ἐπέραινε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα, πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι, πάντα λίθον κίνει. τὸ δέ, πάντα κάλων σείειν, ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα κινούντων.

π 223 Πάντα λίθον κινεῖν: Πολυκράτει τῷ Θηβαίῳ χρησμὸς ἐξέπεσε πριαμένῳ τόπον ἔνθα Μαρδόνιος ἐσκήνωσεν, ὅτε Πέρσαι ἔφυγον, καὶ εὗρε χρυσόν. οἱ δὲ εἰρῆσθαί φασιν ἀπὸ τῶν τοὺς καρκίνους θηρευόντων.

π 224 Πάντα μὴ βούλου κρατεῖν: ἐπὶ τῶν εἰς πάντα εὐδαιμονεῖν βουλομένων.

π 225 Πάντα ὀκτώ: οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ἀπ’ αὐτοῦ Στησιχορείοις πύλαις λεγομέναις, καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας καὶ ὀκτὼ βαθμοὺς καὶ ὀκτὼ γωνίας. οἱ δέ, ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας καὶ ὀκτὼ μέρη τὴν πόλιν.

π 226 Πανταχῇ: πάντα τρόπον. καὶ πανταχοῦ, ἐν παντὶ τόπῳ. καὶ πανταχόθι. πανταχοῖ δὲ καὶ πανταχόσε, εἰς πάντα τόπον.

π 227 Πανταχῇ τὸν τόπον περισκεψάμενοι. καὶ πανταχοῦ γῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 228 Πανταίνετος.

π 229 Παντέλειαν: ὁλόκληρον.

π 230 Παντευχία: πανοπλία.

π 231 Παντικάπαιον: ὄνομα πόλεως.

π 232 Παντὶ σθένει: ὅλῃ δυνάμει.

π 233 Παντί τῳ: παντί τινι.

π 234 Παντοδαής: ὁ πάντα εἰδώς. τίς ἔργον ἔρεξε τοσοῦτον, ὅσσον ὁ παντοδαὴς μήνυσε Δημόκριτος;

π 235 Παντοδαπά: παντοῖα.

π 236 Παντοδαπή, καὶ κλίνεται τῆς παντοδαπῆς.

π 237 Παντοκρατορία.

π 238 Παντοκράτωρ· παντοκράτορος ἐπὶ γενικῆς· καὶ ἐπὶ κλητικῆς ὦ παντοκράτορ.

π 239 Παντολιγοχρόνιος: παντελῶς ὀλιγοχρόνιος. ἄρτι δὲ καὶ νύμφη παντολιγοχρόνιος.

π 240 Παντομιγές: πολυειδές. εἴ πού τι χωρίον παντομιγές τε καὶ εὔκαρπον ὑπάρχοι, ὁ δεσπότης εὐθὺς συνήρπαστο, κατηγορίας πεπλασμένης εὐλόγου διά τινων ὑφειμένων ἐνηδρευμένος· καὶ ὁ ἀδικούμενος ἠδικεῖτο, τοῦ ἀδικοῦντος κρίνοντος.

π 241 Παντὸς μᾶλλον: ἀντὶ τοῦ πάντως.

π 242 Πάντοσε: πανταχοῦ.

π 243 Παντουργῷ: πάντα πράττοντι καὶ μηδὲν ὑποστελλομένῳ· ἢ πανούργῳ καὶ ἀναιδεῖ. Σοφοκλῆς· φωτὶ παντουργῷ φρένας ἔπραξαν ἀνδρὸς τοῦδ’ ἀπώσαντες κράτη.

π 244 Πάντως: παντελῶς. οὐδὲ μνήμας σύγε πάντως νικήσεις.

π 245 Παντοίας ἤδη μούσης πειραθέντες καθ’ ἑαυτούς: τουτέστι ποικίλης καὶ παντοδαπῆς.

π 246 Πανοικί: ὅλῳ οἴκῳ.

π 247 Πάνυ: λίαν.

π 248 Πανύασις, Πολυάρχου, Ἁλικαρνασσεύς, τερατοσκόπος καὶ ποιητὴς ἐπῶν· ὃς σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε. Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε καὶ Σάμιον, ὁμοίως δὲ καὶ Ἡρόδοτος Θούριον. ἱστόρηται δὲ Πανύασις Ἡροδότου τοῦ ἱστορικοῦ ἐξάδελφος· γέγονε γὰρ Πανύασις Πολυάρχου, ὁ δὲ Ἡρόδοτος Λύξου τοῦ Πολυάρχου ἀδελφοῦ. τινὲς δὲ οὐ Λύξην, ἀλλὰ Ῥοιὼ τὴν μητέρα Ἡροδότου, Πανυάσιδος ἀδελφήν, ἱστόρησαν. ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη′ ὀλυμπιάδα, κατὰ δέ τινας πολλῷ πρεσβύτερος· καὶ γὰρ ἦν ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασσοῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ’ Ὅμηρον, κατὰ δέ τινας καὶ μετὰ Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα ἐν βιβλίοις ιδ′, εἰς ἔπη ͵θ′, Ἰωνικὰ ἐν πενταμέτρῳ, ἔστι δὲ τὰ περὶ Κόδρον καὶ Νηλέα καὶ τὰς Ἰωνικὰς ἀποικίας, εἰς ἔπη ͵ζ′.

π 249 Πανύασις, Ἁλικαρνασσεύς, νεώτερος, φιλόσοφος. Περὶ ὀνείρων βιβλία δύο.

π 250 Πάνυ γὰρ ἔστ’ ἤδη χολή: πολύ. τὸ δὲ πολύ, κἂν ᾖ γλυκύ, μοχθηρόν. Ἀριστοφάνης Βατράχοις.

π 251 Πανύστατον: πάντων ἔσχατον.

π 252 Παννυχίζω.

π 253 Πάξαμος, λόγιος. Ὀψαρτυτικὰ κατὰ στοιχεῖον, Βοιωτικὰ ἐν βιβλίοις β′, Δωδεκάτεχνον, ἔστι δὲ περὶ αἰσχρῶν σχημάτων· Βαφικὰ βιβλία β′, Γεωργικὰ β′.

π 254 Παξαμᾶς: ὁ δίπυρος ἄρτος. ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή.

π 255

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πάππα· ὅτι πάππα καὶ τέττα καὶ ἄππα οὐχ ὁ τροφεύς, ἓν ἀνθ’ ἑνός ἐστιν, ἀλλὰ προσφώνησις πρὸς τροφέα. καὶ τὸ πάππα καὶ ἄππα οὐ ψιλῶς ὁ πατήρ, ἀλλὰ πρὸς πατέρα σεπτικὴ φωνή· καὶ τὸ τέττα ἑταίρου.

π 256 Παππάζοιεν: πατέρα καλοῖεν.

π 257 Παππάξ παπαππάξ: ἦχος πορδῆς. Ἀριστοφάνης Νεφέλαις.

π 258 Παππασμός: προσφώνησις παρὰ παιδὸς εἰς πατέρα γινομένη.

π 259 Παπαῖ: σχετλιαστικὸν ἐπίρρημα.

π 260 Παππίδιον· Ἀριστοφάνης· ἀκρόασαι νῦν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον. ὑποκοριστικῶς πάππε.

π 261 Παππίζω. Ἀριστοφάνης· παππίζους’ ἡ θυγάτηρ με τριώβολον ἐκκαλαμᾶται.

π 262 Παπίριος: ὄνομα κύριον. οὐ γὰρ ἦν οὐδὲ τούτων ἀτρὶψ ὁ Παπίριος.

π 263 Πάπορος: ὄνομα κύριον.

π 264 Πάππος: αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες, μύσταξ δὲ αἱ ἐπὶ τοῦ ἄνω.

π 265 Πάππος, Ἀλεξανδρεύς, φιλόσοφος, γεγονὼς κατὰ τὸν πρεσβύτερον Θεοδόσιον τὸν βασιλέα, ὅτε καὶ Θέων ὁ φιλόσοφος ἤκμαζεν, ὁ γράψας εἰς τὸν Πτολεμαίου Κανόνα. βιβλία δὲ αὐτοῦ Χωρογραφία οἰκουμενική, Εἰς τὰ δʹ βιβλία τῆς Πτολεμαίου μεγάλης συντάξεως ὑπόμνημα, Ποταμοὺς τοὺς ἐν Λιβύῃ, Ὀνειροκριτικά.

π 266 Παππῷον· τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν. ἐγένετο ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβαλέσθαι εἰς τὰ κοινὰ χρήματα. ταῦτα δὲ ἔταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις, εἰ τοῖς βαρβάροις πολεμοῖεν.

π 267 Παπυλαιῶνος: σκηνῆς, ἤτοι τέντας.

π 268 Πάπυρος· θηλυκὸν ἡ πάπυρος. λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον, σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ.

π 269 Παρά: διά.

π 270 Παραβαλέσθαι: τὸ ἐξαπατῆσαι. Θουκυδίδης αʹ. οὕτω καὶ Ὅμηρος· παραβλήδην ἀγορεύων.

π 271 Παραβαλέσθαι: τὸ παύσασθαι, καὶ ἀπαλλαγῆναι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων.

π 272 Παραβαλέσθαι· ὁ δὲ Ἰούδας δραστήριος ὢν ἔκρινεν ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας παραβαλέσθαι. τολμηρῶς ἐπέρχεσθαι. καὶ Παραβαλλόμενος, ἀντὶ τοῦ ἀδεῶς ἐρχόμενος. ὁ δὲ παραβαλλόμενος καὶ διαβαίνων πρὸς τὸν Δωρίμαχον πλεονάκις.

π 273 Παραβάλλεσθαι: πρὸς κίνδυνον ῥίπτειν ἑαυτόν. λοιπὸν ἦν παραβάλλεσθαι καὶ τολμᾶν. καὶ αὖθις· ὁ δὲ πρὸς τῷ παραβάλλεσθαι καὶ διακινδυνεύειν ὅλος καὶ πᾶς ἦν. καὶ Παραβαλλόμενος πλεονάκις, θαρραλέως ὁρμῶν.

π 274 Παραβαλεῖν: ἀντὶ τοῦ παραδοῦναι. ὁ δὲ ὁρᾷ τὴν Μελησίαν καὶ ἐρᾷ αὐτῆς καὶ πέμπει πείσων πεντακισχιλίους καὶ μυρίους αὐτῇ χρυσοῦς, καὶ εἰ πλέον ἐδεῖτο, ἔφατο δώσειν· ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, ἑταιρικὸν φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσθαι.

π 275 Παραβάλλειν: τὸ ἀπέρχεσθαι. παραβάλλειν εἰς Σικελίαν πρὸς τὸν τύραννον. καὶ αὖθις· αἰσχύνασαι τὴν λατρείαν τὴν περὶ τὴν θεὸν, καὶ ἑαυτὰς ὁμιλίᾳ ἀνδρῶν παραβαλοῦσαι (ἀντὶ τοῦ μίξασαι) ἐκολάσθησαν κατὰ τὸν νόμον.

π 276 Παραβαλεῖς: παραθήσεις, ὁμοιώσεις, ἐπιφοιτήσεις.

π 277 Παραβαλλόμενον· οὐ γὰρ ἦν πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενον χαρίζεσθαι δάπιδας.

π 278 Παραβαλλόμενος: ἐξομοιούμενος. τὰ πρῶτα παραβαλλόμενος τοῖς ἀρίστοις τῶν βασιλέων.

π 279 Παραβαλών: πλησίον συστήσας, συνοδεύων. ὁ δὲ παραβαλὼν τὸν ἑαυτοῦ ἵππον τῷ Παρθαμασίρου ἵππῳ μηκέτι τὸ πέρα σπουδῇ ἐλαύνειν ἐκέλευεν. καὶ Παραβάλλω· αἰτιατικῇ.

π 280 Παραβαλών: χαλάσας. Ἀριστοφάνης· ὥσπερ παλαιστὴς παραβαλὼν τοὺς γομφίους. ὥσπερ καὶ τὸ χαλάσαι κώπην λέγουσι παραβαλεῖν.

π 281 Παραβάλοιτο: ἀντὶ τοῦ παραπέμψαιτο. Αἰσχίνης κατὰ Κτησιφῶντος.

π 282 Παράβασις· τοῦτο λέγεται παράβασις, ἅπερ ἔλεγον ἐπιστρέφοντες οἱ χορευταὶ πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος, ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις ἢ ἄλλο ἐκτὸς λέγῃ τι τῆς ὑποθέσεως. Παράβασις δὲ λέγεται, ἐπειδὴ ἀπήρτηται τῆς ἄλλης ὑποθέσεως, ἢ ἐπεὶ παραβαίνει ὁ χορὸς τὸν τόπον. ἑστᾶσι μὲν γὰρ κατὰ στοῖχον οἱ πρὸς τὴν ὀρχήστραν ἀποβλέποντες· ὅταν δὲ παραβῶσιν, ἐφεξῆς ἑστῶτες καὶ πρὸς τὸ θέατρον ἀποβλέποντες τὸν λόγον ποιοῦνται. εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταί, τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Πλάτων ὁ κωμικὸς ἐν τῷ Παιδαρίῳ· εἰ μὲν μὴ λίαν, ἄνδρες, ἠναγκαζόμην στρέψαι δεῦρο, οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδε ἐπῶν. ἄμφω σημήνας, καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν. καὶ Πισίδης· τὸν παραβάτην συμβαλὼν πλασμῷ ξένῳ πρὸ τῆς μάχης ἀφῆκας εἰς ἀντιστάτην.

π 283 Παραβαίνω· γενικῇ. μή τι παραβαίνειν ἔδοξε τῶν κοινῶν; καὶ αἰτιατικῇ.

π 284 Παραβεβάσθαι τὰς σπονδάς: τὸ παθητικὸν τοῦ παραβεβηκέναι, πάνυ ἀκολούθως Θουκυδίδης.

π 285 Παραβέβλησαι: παραβόλως κέχρησαι. καὶ παραβέβλησαι τῷ βίῳ διὰ τὴν πρὸς ἐμὲ εὔνοιαν, οὐδεμιᾶς ἀνάγκης σοι προκειμένης.

π 286 Παραβιάζω· αἰτιατικῇ.

π 287 Παραβιβάζεσθαι: παραβαίνεσθαι.

π 288 Παραβλέπουσα θατέρῳ: μὴ ἀτενίζουσα, φησίν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

π 289 Παραβλήδην: ἀπατητικῶς, παραλογιστικῶς.

π 290 Παραβληθησόμενος: συγκριθησόμενος, ὁμοιωθησόμενος.

π 291 Παραβλῶπες: παρορῶντες. διεστραμμένας ἔχοντες τὰς ὄψεις. Ὅμηρος· χωλαί τε ῥυσαί τε παραβλῶπές τ᾽ ὀφθαλμώ.

π 292 Παραβλύσας: παραβαλών, ἀποπτύσας. εἴποτε ἡττηθεὶς οἴνου καὶ παραβλύσας τὸ περιττόν, εἶτα ὕπνου μέτοχος γένοιτο.

π 293 Παραβολή: λόγος αἰνιγματώδης καὶ κεκρυμμένος, πρὸς ὠφέλειαν φέρων.

π 294 Παραβολή: διήγημα. ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. ἀντὶ τοῦ ἐν διηγήσει ἀρχαίων λόγων. καὶ ἡ ὁμοίωσις. καὶ τὸ λάλημα, καὶ ὑπόδειγμα. ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι.

π 295 Παραβολή: πραγμάτων ὁμοίωσις.

π 296 Παράβολος· Ἀριστοφάνης Σφηξί· πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος. ἀντὶ τοῦ οὐ γνήσιος. Ἰώσηπος περὶ τῆς ἐγγαστριμύθου· ταύτην αἰτοῦμαι χάριν ἀντὶ τῆς παραβόλου μαντείας.

π 297 Παραβόλως· Πολύβιος· μετὰ δὲ ταῦτα πρὸς ἡλίκην δυναστείαν παραβόλως ἀντοφθαλμήσας.

π 298 Παραβολώτερος: ἀνόητος.

π 299 Παραβραβεύοντα: διακρίνοντα, διορίζοντα. ἀποκλίνοντα τὸ Περσικὸν διὰ τὸν παραβραβεύοντα φάραγγα. ἀρσενικῶς ὁ φάραγξ.

π 300 Παραβύουσα: παρακαλύπτουσα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 301 Παράβυστον: παρακεκρυμμένον, λάθρα γινόμενον.

π 302 Παράβυστον: οὕτως ἐκαλεῖτό τι τῶν παρ’ Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ια′. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται καὶ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ’ ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων.

π 303 Παραγάγης: παρηγορήσῃς. μηκέτι παραγάγῃς, ἵν’ οὐ πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων εὐπατρίδων ἀρωγοί.

π 304 Παραγγελία· παραγγελία περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε. καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος· τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παράταξιν ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες. Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει· καὶ τὰς ἰδίας παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις.

π 305 Παράγγελμα: προτροπή, κάταρξις. κρότος τε ἀθρόος οὐκ ἐκ παραγγέλματος, ἀλλ’ ἐκ τοῦ αὐτοκελεύστου τῆς προθυμίας τῶν θεωμένων.

π 306 Παραγγέλλοντα: δεχόμενον τὴν ἀρχήν. ὁ δὲ Φάβιος λαβὼν τὴν ἀρχὴν Πόπλιον ἀποδείκνυσιν ὕπατον, οὐδ’ αὐτὸν παραγγέλλοντα τὴν ἀρχήν.

π 307 Παραγγέλλοντας· οἱ δὲ Ἀρειανοὶ ὄντες προφάσει τοῦ δόγματος, ἀφικόμενοι ἐν Καρχηδόνι, περὶ τοὺς εἰς ἱερωσύνην παραγγέλλοντας, ὅπως ὁ Γεζέριχος παρασκευῆς ἔχει καὶ γνώμης, μαθεῖν. ἀντὶ τοῦ τελοῦντας. καὶ Ξενοφῶν· ὁ δὲ καταφεύγει ἐς τὸ ἑαυτοῦ στράτευμα καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα. καὶ αὖθις· στρατιὰν ὡς πλείστην εἰς τὸν πόλεμον παραγγέλλων. ἀντὶ τοῦ καταλέγων.

π 308 Παραγγέλλων: ἀντὶ τοῦ συνερχόμενος, συνδιατρίβων, συναναστρεφόμενος. ὁ δὲ παραγγέλλων ποτὲ μὲν τοῖς, ποτὲ δὲ τοῖς ἥρπαζε μετ’ αὐτῶν καὶ διεδύετο. ἢ Παραγγέλλων, ἀντὶ τοῦ ἀπροόπτως ἐρχόμενος.

π 309 Παράγγελσις· αἱ γὰρ παραγγέλσεις οὐ καθ’ ἕν, ὡς πρότερον, ἀλλὰ διτταὶ ἐγίνοντο.

π 310 Παράγεσθαι: μεταπείθεσθαι. Θουκυδίδης· κελεύει αὐτοὺς μὴ λόγοις μόνον παράγεσθαι ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες ἀπαγγελοῦσι.

π 311 Παραγγείλας. ὁ δὲ ἀνεχώρησεν, οὐδὲ τὸ ἀνακλητικὸν παραγγείλας. ἀντὶ τοῦ σημήνας. καὶ αὖθις· πολισμάτια ἐκτόπια τὸ παντελὲς ὑπάρχοντα τῶν γραφομένων καὶ παραγγελλομένων.

π 312 Παραγκωνίσας: ἀποστρέψας, ἐκ τῶν ἀγκώνων δήσας.

π 313 Παραγνούς: παρανοήσας.

π 314 Παραγωγαῖς: ἐξαπάταις. σοφίσμασι δὲ καὶ παραγωγαῖς ἀεί τε καὶ καθημέραν ἡμᾶς ἐκκρούοντες κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται.

π 315 Παραγωγή· παραγωγὴ λέγεται, ὅταν ἡ φάλαγξ πορεύηται ἐκ τῶν εὐωνύμων τοὺς ἡγεμόνας ἔχουσα ἢ ἐκ τῶν δεξιῶν. κἂν μὲν ἐκ τῶν εὐωνύμων ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται· ἐὰν δὲ ἐκ τῶν δεξιῶν, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ ἢ τριπλεύρῳ ἢ τετραπλεύρῳ τάγματι βαδιεῖ. μονοπλεύρῳ μέν, ὅταν μοναχόθεν φοβηθῇ· διπλεύρῳ δέ, ὅταν διχόθεν· τριπλεύρῳ δέ, ὅταν τριχόθεν· τετραπλεύρῳ δέ, ὅταν πανταχόθεν οἱ πολέμιοι ἐπιτίθεσθαι ὑφορῶνται.

π 316 Παραγραμματίζων: ὅπερ παρήχημα λέγεται. Τίμων οὑτωσὶ παραγραμματίζων αὐτόν, ὡς ἀνέπλασε Πλάτων πεπλασμένα θύματα. οἷόν ἐστι παυσάμενος Παυσανίας, καὶ Σαμία μία ναῦς.

π 317 Παραγραμματισμός: ὅταν γράμμα ἀντὶ γράμματος τεθῇ· οἷον ἀντὶ τοῦ μυρσίνη βυρσίνη, β ἀντὶ τοῦ μ· ὡς Ἀριστοφάνης ἀντὶ τοῦ μ τῷ β ἐχρήσατο. δέον γὰρ εἰπεῖν μυρσίνη, βυρσίνη εἴρηκε· ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ μυρσίναις ἀποσοβοῦσι τὰς μυίας. ὁ δὲ ἔπαιξε διὰ τὸν βυρσοδέψην. καὶ μυρσίνῃ ἐστεφανοῦντο οἱ στρατηγοί. ἢ ὡς ὅταν λέγῃ, ἐγ Κλωπιδῶν, ἀντὶ τοῦ Κεκροπιδῶν, λ ἀντὶ τοῦ ρ.

π 318 Παραγράφεται: ἐξουθενεῖ, παραιτεῖται, ἀποβάλλεται. καὶ ἐν συνθέσει ἀπαράγραφον. ὡς μάρτυς ἔχεις τὸ ἀπαράγραφον. περὶ Ἰακώβου τοῦ ἀδελφοθέου.

π 319 Παραγραφή: ὅταν λέγῃ τις ὅτι τὸ πρᾶγμα, περὶ οὗ τὸ ἔγκλημά ἐστιν, εἰσήχθη πρότερον εἰς δικαστήριον, καὶ γεγένηται περὶ αὐτοῦ γνῶσις. καὶ διὰ τοῦτό φησι μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίστασθαι κρίσιν· μάλιστα δὲ τοὺς νόμους ἀναγινώσκειν τοῖς δικασταῖς, οἳ πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν οὐ συγχωροῦσι. λέγει δὲ περὶ αὐτοῦ τοῦ πράγματος ἅμα τοῖς δικασταῖς παραδεικνύς, ὡς οἱ πάλαι δικάσαντες καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ψηφίσαντες. καὶ τοῦτό ἐστι παραγραφή. καὶ ἐπ᾽ ἐκείνῃ τῇ δίκῃ, περὶ ἧς οὐδὲν ὥρισται παρὰ τοῖς νόμοις, οὐδὲ ἔνεστιν αὐτὴν ὁ εἰσάξων, ὥσπερ καὶ τὰς ἄλλας δίκας· τῶν γὰρ ἄλλων δικῶν προστέτακται ἑκάστῳ τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινά. παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοσοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται.

π 320 Παραγραφή: οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται παρὰ τοῖς ῥήτορσιν, ἀλλ᾽ ἰδίως Ἰσοκράτης παραγραφῆς εἶπεν, ἀντὶ τοῦ ἀπὸ τῆς γραφῆς. καὶ ἔστι τὸ λεγόμενον παρ᾽ αὐτοῦ, ἀφ᾽ οὗ παρέγραψα· τοῦτο δ᾽ ἂν εἴη, ἀφ᾽ οὗ παρεθέμην. ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους, οὐδὲ μέχρι παραγραφῆς φησιν· ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου, ὅπερ ἐστὶν γεγραμμένου.

π 321 Παραγράφω· αἰτιατικῇ.

π 322 Παράδειγμα: εἰκών, ἢ χαρακτὴρ ἔννοιαν ἔχων αἰσθητοῦ πράγματος. ἰστέον δέ, ὅτι ἄλλο παράδειγμα καὶ ἄλλο παραβολή. παράδειγμα μὲν γάρ ἐστιν, ὅταν ἀντιπαραθῇ τις ὅμοιον ὁμοίῳ, οἷον λογικῷ λογικόν· παραβολὴ δέ, ὅταν ἀνόμοιον ἀνομοίῳ, οἷον ἀλόγῳ λογικὸν ἢ ἔμπαλιν. ἢ παράδειγμά ἐστι λόγος ἀπὸ τῶν καθέκαστα ἐπὶ τὰ καθόλου. ἢ δεῖξις πιστουμένη τὸ μερικὸν διὰ μερικοῦ ὁμοίου.

π 323 Παράδειγμα· τὸ παράδειγμα τῆς ἐπαγωγῆς ἄλλο. ἡ μὲν γὰρ ἐπαγωγὴ ἐκ τῶν καθέκαστά ἐστιν ἐπὶ τὸ καθόλου ὁδός. παράδειγμα δὲ γίνεται τὸ ὅμοιον καὶ γνωριμώτερον τοῦ ὁμοίου καὶ ἧττον γνωρίμου. διὸ ἐπαγωγὴ μὲν δι᾽ ἑνὸς οὐ γίνεται· τὸ δὲ παράδειγμα ἀρκεῖ καὶ δι᾽ ἑνὸς εἶναι. καὶ ἔστιν ἡ μὲν ἐπαγωγὴ τῷ διαλεκτικῷ οἰκειοτέρα, τὸ δὲ παράδειγμα τῷ ῥήτορι. κέχρηται μέντοι καὶ ὁ διαλεκτικὸς παραδείγμασιν ὑπὲρ σαφηνείας τοῦ λεγομένου, εἰ μὴ εἴη γνώριμον· ὡς τὸ διὰ τῆς ὁμοιότητος πυνθάνεσθαι. παραδειγματικὸν γὰρ τὸ οὕτως ἐρωτῆσαι, ἆρά γε τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη ὥσπερ καὶ ἡ αἴσθησις; παραδείγματος δὲ καὶ παραβολῆς διαφορά, ὅτι τὸ μὲν παράδειγμα δοκεῖ γεγονός τι εἰς δεῖξίν τινος παρατίθεσθαι μηδέπω γεγονότος καὶ διὰ τοῦτο ἀδήλου, ἡ δὲ παραβολὴ εἰκών ἐστιν, ὁμοιότητα πρός τι γεγονὸς σημαίνουσα. ἰστέον ὅτι τὰ παραδείγματα οὐ κατὰ πάντα λαμβάνεται καὶ τοῖς προκειμένοις ἁρμόζεται· ἐπεὶ οὐκ ἂν εἴη ὑποδείγματα ἀλλὰ ταυτότης· ἀλλὰ χρὴ τὸ χρήσιμον ἡμᾶς καὶ εἰς ὃ παρείληπται ἐκλεξαμένους τὸ λοιπὸν ἅπαν χαίρειν ἐᾶν· οἷον ὁ Πατριάρχης λέγει περὶ τοῦ σωτῆρος, ἀναπεσὼν ὡς λέων, οὐ πάντα προσαρμόζομεν τῷ Χριστῷ, ἀλλὰ τὸ ἄμαχον καὶ φοβερὸν καὶ βασιλικὸν ἐκλαμβάνοντες, τὸ δὲ θηριῶδες καὶ εἴ τι ἄλλο πρόσεστι παριππεύομεν. καὶ ὅταν λέγῃ, ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη, τὸ τιμωρητικὸν μόνον ἐκληψόμεθα, ἀλλ᾽ οὐκ ἄλλο τι τῶν τῇ ἄρκτῳ προσόντων.

π 324 Παράδειξις: ὁμοιότης, δήλωσις.

π 325 Παραδεικνῦσα καὶ Παραδεικνύντος καὶ Παραδεικνύναι.

π 326 Παράδεισος· ζήτει πλατύτερον ἐν τῷ Σεμίραμις.

π 327

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παραδειγματίζω· αἰτιατικῇ.

π 328 Παραδιαιτᾶσθαι: τὸ παρ’ ἑτέρῳ τινὶ τρέφεσθαι.

π 329 Παραδιδάσκω· αἰτιατικῇ.

π 330 Παραδίδωμι· δοτικῇ.

π 331 Παρὰ δίκην: παρὰ τὸ δίκαιον.

π 332 Παρὰ δόξαν: παρὰ προσδοκίαν, παρ’ ἐλπίδα. τὰς δυσχωρίας προκατειλήφεσαν, ἐλπίδα ἔχοντες ὡς παρὰ δόξαν ἐπιθησόμενοι.

π 333 Παράδοξον: ἀπροσδόκητον, θαυμαστόν.

π 334 Παραδῶσι: πληθυντικόν. συντρέχει λοιπὸν τὸ συνέδριον τῶν Ἰουδαίων, ἵνα τὸν δημιουργὸν καὶ κτίστην τῶν ἁπάντων Πιλάτῳ παραδῶσιν.

π 335 Παραδράμω· αἰτιατικῇ.

π 336 Παραδυναστεύω· δοτικῇ.

π 337 Παραδύομαι· παροιμία· ἐπειδὴ εἰς τοὺς πλουσίους οἱ πένητες παραδύονται.

π 338 Παραζήλου: παρερεθίζου, παροξύνου εἰς μίμησιν τῶν κακίᾳ συζώντων. Δαβίδ· μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ.

π 339 Παραζηλῶν· αἰτιατικῇ. παροξύνων, ζηλοτυπῶν.

π 340 Παραθέουσι: παρατρέχουσι.

π 341 Παράθερμος: παρὰ τὸ προσῆκον ἐργαζόμενος. ὢν δὲ φύσει παράθερμος καὶ παρακεκινηκὼς πολλὰ διῴκει μανίᾳ προσεμφερῶς· τοσοῦτον τ’ ἀφροσύνῃ διενεγκὼν τῶν ἄλλων, τῷ μηδὲ ἐκ τῆς πείρας δύνασθαι διδαχθῆναι τοῦ πρώτως ἐπιβαλλόμενον σφαλῆναι.

π 342 Παράθεσις: σύγκρισις. βουλόμενος δ’ ἐκ παραθέσεως ὑπόδειγμα ποιῆσαι τῆς αὑτοῦ προαιρέσεως, ἧς ἔχει πρὸς τοὺς πεπιστευκότας αὐτῷ καὶ τοὺς ἀπειθοῦντας, ἐπολιόρκει. καὶ αὖθις· μηδ’ εἶναι παράθεσιν τοῦ βελτίονος. Παράθεσις καὶ ἡ παραγγελία παρὰ τοῖς Πατράσι. φησὶ γάρ, ἔλαβον παράθεσιν.

π 343 Παραθήγειν: ἀκονᾶν, παροξύνειν.

π 344 Παραθήξονται: παρακονήσονται. ἦν δὲ Τύλλος Ἄττιδος, ὁ τὰς ὀργὰς αὐτοῖς παραθήξας, ἔχων περὶ αὑτὸν ἑταιρίαν οὐκ ὀλίγην.

π 345 Παραθραύοντες: ταλαιπωροῦντες, ἀδυνατοῦντες.

π 346 Παραθρήσειας: παρίδῃς.

π 347 Παρίημι: συγχωρῶ. εἴ τις ἐπελθὼν ἡμῶν εἰς τὴν παρεμβολὴν τολμήσει, παρίημι λέγειν ἐς τὴν πατρίδα.

π 348 Παρακαλεῖν: τὸ καλεῖν, ἢ τὸ προτρέπεσθαι· ἄκυρον γὰρ τὸ δέεσθαι.

π 349 Παρακαλῶ· ὅτι τὸ καλῶ καὶ παρακαλῶ ἔλευσιν ἔχει καὶ αἰτιατικῇ συντάσσεται.

π 350 Παρακαρησός: ὄνομα ποταμοῦ.

π 351 Παρακαρής: ὀλίγου.

π 352 Παρακαταβολή: πρόθεσις τοῦ δεκάτου μέρους τοῦ τιμήματος. εἴρηκεν ὁ δανειστὴς πρὸς Στρεψιάδην· καὶ τοῦτ’ ἴσθ’, ὅτι θήσω πρυτανεῖ’, ἢ μηκέτι ζῴην ἐγώ. ἀντὶ τοῦ γραφὴν κατὰ σοῦ θήσομαι· ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν δικῶν γραφάς. λέγει ὁ Στρεψιάδης· προσαποβαλεῖς ἄρ’, αὐτὰ πρὸς ταῖς δώδεκα. ἀπολεῖς, φησί, καὶ τὰ ἐπὶ τῇ γραφῇ ἀναλώματα, μάτην αὐτὰ ποιήσας, διὰ τὸ περιέσεσθαί σου τὸν υἱόν μου, λέγοντα τὸν ἀδικώτερον λόγον. ὅ ἐστι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης, ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.

π 353 Παρακαταβολή καὶ Παρακαταβάλλειν: οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν, καὶ τοῦτο ἐχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν, ὅτι τὸ πέμπτον μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησί· καὶ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς.

π 354 Παρακαταθήκη: ἐνέχυρον.

π 355 Παρακατεῖχον: ἐχρονοτρίβουν. οἱ δὲ δολίως τοῖς πρέσβεσι προσενεγκάμενοι παρακατεῖχον ὡς συνάξοντες τὸν δῆμον.

π 356 Παρακεκινδυνευμένον: ἀντὶ τοῦ ὑψηλόν, ἢ βλάσφημον. Ἀριστοφάνης· γόνιμον δὲ ποιητὴν οὐκ ἂν εὕροις ἔτι. τουτέστι φυσικόν τινα καὶ οὐ βεβιασμένον, ἢ γεννητικόν. ὅστις φθέγξεται τοιουτονί τι παρακεκινδυνευμένον, αἰθέρα, Διὸς δωμάτιον, ἢ χρόνου πόδα, ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ’ ἱερῶν, γλῶτταν δ’ ἐπιορκήσασαν ἄνευ τῆς φρενός. Εὐριπίδης· ὄμνυμι δ’ ἱερὸν αἰθέρ’ οἴκησιν Διός. Ἀλεξάνδρου δέ· καὶ χρόνου πρόβαινε πούς. καὶ ἐξ Ἱππολύτου Εὐριπίδου· ἡ γλῶσσ’ ὀμώμοχ’, ἡ δὲ φρὴν ἀνώμοτος.

π 357 Παρακεκλημένοι: παραμυθηθέντες.

π 358 Παρακεκομμένος: μαινόμενος, ἐξεστηκώς, παράφρων. καὶ Παρακεκομμένα· κἀμοὶ γάρ ἐστιν ἀμπέλια παρακεκομμένα. ἀντὶ τοῦ μηδὲν ἐντελὲς ἔχοντα. ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων, ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας τοὺς παρακόπτοντας. ὅθεν καὶ παράσημος ῥήτωρ. ἀνδράρια μοχθηρά, παρακεκομμένα, ἄτιμα καὶ παράσημα καὶ παράξενα.

π 359 Παρακελεύεται· δοτικῇ. προτρέπεται, διεγείρει.

π 360 Παρακερδαίνω σου.

π 361 Παρακεχόρδηκεν, οἷον παρημάρτηκε λέγουσιν Ἀττικοί. καὶ παράχορδον.

π 362 Παρακείμενα: τὰ νῦν. ἱκανὰ κακὰ τὰ παρακείμενα.

π 363 Παρακινοῦντα: ἐξιστάμενον. οὐχ οὕτω παρακεκινηκότες καὶ διεφθαρμένοι τὴν γνώμην, ἀλλὰ διὰ τὴν ὑπεροχὴν τῶν κακῶν ἐς Ἰουλιανὸν τὸν Εὐτρόπιον ἀνατιθέμενοι. Εὐνάπιός φησι περὶ Εὐτροπίου τοῦ εὐνούχου. καίτοι παρακινηθεὶς τοῦ προσήκοντος.

π 364 Παράκλησις: ἀντὶ τοῦ προτροπή. Ἰσοκράτης Παραινέσεσι· διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες. Λυκοῦργος δὲ ἀντὶ τῆς δεήσεως ἐχρήσατο λέγων· ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως.

π 365 Παρακλιδόν.

π 366 Παρακλίνασαι: παρανοίξασαι. ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ’ ἐπιθεῖναι. Ἀριστοφάνης· καὶ γὰρ ἐκεῖναι παρακλίνασαι τῆς αὐλείας παρακύπτουσι. κἂν τις προσέχῃ τὸν νοῦν αὐταῖς, ἀναχωροῦσι· κᾆτ’, ἢν ἀπίῃ, παρακύπτουσι.

π 367 Παρακοᾶν: παρανοεῖν καὶ παραφρονεῖν. κοᾶν γὰρ καὶ κονᾶν τὸ φρονεῖν.

π 368 Παρακονᾶν: τὸ ἐν τῷ φιλεῖν διατρίβειν.

π 369 Παρακοπὴ φρενῶν: ἡ φρενιτίασις.

π 370 Παρακόψας: τὸν νοῦν τραπείς. ἐτελεύτησε δέ, ἄκρατον πολὺν ἐμφορηθεὶς καὶ παρακόψας, ἤδη γεγονὼς ἔτος πέμπτον καὶ ἑβδομηκοστόν.

π 371

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παρὰ κωφὸν ἀποπαρδεῖν: πρόδηλος τῆς παροιμίας ἡ αἰτία· οὐ γὰρ ἀκούει ὁ κωφός. ἐπὶ τῶν ἀναισθήτων δὲ λέγεται.

π 372 Παρακροτοῦντες: παραθαρσύνοντες, παρορμῶντες.

π 373 Παρακρούεται· αἰτιατικῇ. ἀντὶ τοῦ ἐξαπατᾷ. μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι ἢ μετροῦντας, κρούειν τὰ μέτρα καὶ διασείειν, ἕνεκα τοῦ πλεονεκτεῖν,

π 374 Παρακρουσάμενος: ἐξαπατήσας, παραπείσας. παῖδας τῶν εὐγενεστάτων οἴκων παρακρουσάμενος ἐξήγαγεν ἐκ τῆς πόλεως.

π 375 Παρακρούσασθαι: ἀνατρέψαι. ὁ δέ, ὅσα διημφισβητήθη, οἷος ἐγένετο παρακρούσασθαι.

π 376 Παράκρουσιν: ἐξαπάτην, ἐμπαιγμόν. ἄπιστοί τε γὰρ δόξαντες εἶναι οἱ Σαυνῖται, καὶ πρὸς τὰς συμφορὰς ἐς παράκρουσιν τοῦ ἀεὶ κρατοῦντος σφῶν σπένδεσθαι, οὐχ ὅσον οὐχ εὕροντό τι συμβατικόν, ἀλλὰ καὶ ἄσπονδον σφίσι τὸν πόλεμον παρεσκεύασαν.

π 377 Παρακοίτης: ὁ ἀνήρ. Παράκοιτις δὲ ἡ γυνή.

π 378 Παρακωχή: παροχή· παρὰ Θουκυδίδῃ, ὡς ἡ ἀνακωχὴ καὶ διακωχή.

π 379 Παράλλαξον: πάρελθε. ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑπερφέρειν τὰς μεταβολάς, ὡς ἐπὶ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ.

π 380 Παραλλάττουσιν: ἀντὶ τοῦ παρέρχονται. παραλλάττουσι δὲ ἀλλήλους τῷ διαστήματι τῶν ὁδῶν ψευσθέντες ὅ τε Προκόπιος καὶ Οὐάλης ὁ βασιλεύς.

π 381 Παραλλήλων: ὁμοίων, ἀκολούθων, ἐγγὺς ἀλλήλων, ἐξίσου. καὶ παράλληλον ὀρύξαντες τῷ δοκοῦντι πεσεῖσθαι τείχει συνῆψαν ὑπὸ γῆν τοῖς ἐναντίοις. ἀντὶ τοῦ ἐξίσου.

π 382 Παραλογίζομαί σε.

π 383 Παραλογισμός: ἀπάτη λογισμοῦ.

π 384 Παραλογιστής: ἀπατεών.

π 385 Παράλογον λέγουσιν ἀρσενικῶς οἵ τ’ ἄλλοι καὶ μάλιστα Θουκυδίδης, τὸ παράδοξον καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν· οἷον, τοῦ πολέμου τὸν παράλογον. καί, ὅτι ἐγένετο πολὺς ὁ παράλογος. Προκόπιος· οἱ μὲν ἄλλοι τοῦ πλήθους ἐκλογιζόμενοι τὸν παράλογον, ἔδοξε μανιώδης εἶναι αὐτοῦ ἡ ἔννοια. καὶ αὖθις· τοῖς δὲ Ῥωμαίοις θάρσος καὶ ἀπιστία πρὸς τὰ γινόμενα παρέστη πλείων ἢ τοῖς τὰ παράλογα ὀνείρατα ὁρῶσιν. ὁ Παράλογος Θουκυδίδης· οἱ δὲ Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν, καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν· πολὺ δὲ μείζων ἔτι τῆς στρατιᾶς ὁ μετάμελος. καὶ αὖθις· οἱ δὲ σοφίσμασι καὶ παραγωγαῖς ἐκκρούοντες ἡμᾶς ἀεί τε καὶ καθημέραν κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται.

π 386 Παραλόγως: τὸ ἀνέλπιστον, παρὰ προσδοκίαν. οὐδέ τις ἦν ὃς οὐκ ἠθέλησε τὸ μὴ οὐ θεατὴς γενέσθαι παραλόγου οὕτως ἐς μέγεθος παρασκευῆς. ἀντὶ τοῦ παραδόξου.

π 387 Πάραλος: ναῦς ἱερά, θεωρίς· ἦν δὲ καὶ ἑτέρα Σαλαμινία ναῦς. Τευθὶς δὲ πάραλος, ἡ παραθαλασσία, ἢ ἡ παρὰ τὰς ἅλας κειμένη.

π 388 Πάραλος ἢ Σαλαμινία: αὗται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι καὶ ταχυναυτοῦσαι· καὶ ἦσαν ὡς ἂν ὑπηρέτιδες ταχεῖαι οὖσαι, ἡ μὲν ὑπηρετοῦσα εἰς τὰ θεωρικά, ἡ δὲ εἰς τὰ δημόσια. καὶ αὖθις· οἱ δὲ Ἀθηναῖοι πέμπουσι τὴν Πάραλον, καλοῦντες αὐτὸν ἐπὶ κρίσιν. τουτέστιν Ἀλκιβιάδην.

π 389 Πάραλος: Δημοσθένης Φιλιππικοῖς. μία τῶν παρ’ Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. πάραλοι δ’ ἐκαλοῦντο οἱ ἐπιβεβηκότες αὐτῆς, οἳ καὶ διὰ ταύτην τὴν ὑπηρεσίαν τέσσαράς τε ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖστον τοῦ ἐνιαυτοῦ οἴκοι τε ἔμενον, καὶ ἄλλα τινὰ ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 390 Πάραλοι: οἵ τε ἐν τῇ νηῒ τῇ Παράλῳ πλέοντες καὶ οἱ τὴν παράλιον τῆς Ἀττικῆς κατοικοῦντες· ὥσπερ ἕτεροι Πεδιάσιοι καὶ Διάκριοι. Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρέτει. ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν ἠβούλοντο, ὥσπερ Ἀλκιβιάδην ἀπὸ Σικελίας, τῇ Παράλῳ ἐχρῶντο. λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμινία. ὕστερον δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε καὶ Δημητριάς.

π 391 Παράλων: διῄρητο εἰς δʹ μοίρας πάλαι ἡ Ἀττική· Πανδίων γὰρ διαδεξάμενος Κέκροπα, προσκτησάμενος δὲ καὶ τὴν Μεγαρίδα ἔνειμε τὴν χώραν τοῖς παισὶν εἰς δʹ μοίρας· Αἰγεῖ μὲν τὴν παρὰ τὸ ἄστυ μέχρι Πυθίου, Πάλλαντι δὲ τὴν Παραλίαν, Λύκῳ δὲ τὴν Διακρίαν, Νίσῳ δὲ τὴν Μεγαρίδα. Ἀριστοφάνης· ἀλλ’ οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα.

π 392 Παραλοῦμαι: παροιμιακῶς. εἰώθεισαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. Ἀριστοφάνης Ἀναγύρῳ· ἀλλὰ πάντας χρὴ παραλοῦσθαι καὶ τοὺς σπόγγους ἐᾶν. οἷον συνεισιέναι τοῖς πλουσίοις, ὥστε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι.

π 393 Παραλυπῶ· αἰτιατικῇ.

π 394 Παραλύσας: ἀντὶ τοῦ διαδεξάμενος. παραλύσας αὐτὸν τῆς ἀρχῆς.

π 395 Παραλῦσαι: ἀφελέσθαι. βουλόμενος ἀναπαῦσαι καὶ κόπου παραλῦσαι τοὺς ἰδίους στρατιώτας. καὶ αὖθις Σιμόκατος· οἱ δὲ τῶν ὅπλων παραλυθέντες, οὐκ εἶχον ὅ τι χρήσονται τοῖς θυμοῖς.

π 396 Παραμέλω· γενικῇ.

π 397 Παραμένω· δοτικῇ.

π 398 Παραμείψας: παραλλάξας.

π 399 Παραμπυκίζεται: παραπλέκεται τὰς τρίχας.

π 400 Παραμυθῆσαι· αἰτιατικῇ. συμβουλεῦσαι. καὶ παραμυθήσασθαι ὡσαύτως.

π 401 Παρανάλωμα· ὁ Μακρῖνος ὁ βασιλεὺς τρυφῇ καὶ ἐκδεδιῃτημένῳ βίῳ τὰ καθ’ ἑαυτὸν παραδοὺς παρανάλωμα τῆς τρυφῆς ἐποιεῖτο φόνους οὐδὲν ἠδικηκότων ἀνθρώπων. τουτέστι προσόψημα.

π 402 Παράνοια· πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω; οἷον πρὸς τὸν πατέρα δικάσομαι, καὶ δείξας αὐτὸν μαινόμενον, οὕτω τὴν μανίαν παύσω, εἰς τὸ δικαστήριον ἀγαγών.

π 403 Παράπαν: καθόλου, παντελῶς. καὶ μάλιστα παρορμηθῆναι φήσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα παράπαν, οἷον τὸν Ἀμύντου Φίλιππον.

π 404 Παραπαίων: παραφρονῶν, ληρῶν. ἀγνοῶν καὶ παραπαίων ὁλοσχερῶς.

π 405 Παραπέμπω· αἰτιατικῇ. παραπέμπει πλωτῆρας σὺν εὐθυμίᾳ. καὶ κατὰ περιποίησιν δοτικῇ. μᾶλλον δὲ κόσμον παραπέμπουσι τὸν ἐνεστῶτα τῷ μέλλοντι.

π 406 Παραπεπληγμένα: μανικά. ὅς’ ἂν πράξωσιν, ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.

π 407 Παραπεπτωκώς: ἀντὶ τοῦ ὑποπεπτωκώς. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

π 408 Παραπέταλοι: πετάλοις ἐσκεπασμέναι. αἱ δὲ τριήρεις ἦσαν κόσμῳ διαπρεπεῖ, ἀργύρῳ τε τὰ ἔμβολα καὶ χρυσῷ τὰς πρύμνας παραπέταλοι.

π 409 Παραπέτασμα: παρακάλυμμα, παράπλωμα. τὸ λεγόμενον βῆλον.

π 410 Παράπηγμα: κανών. καὶ εἶδός τι ὀργάνου ἀστρονομικοῦ. εἰ δὲ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον ἐθέλεις πρὸς τὸν θάνατον, εἴπω.

π 411 Παραπικρασμός: ἡ ἐν ἐρήμῳ πολλάκις γενομένη ἀντιλογία τῶν Ἰσραηλιτῶν.

π 412 Παραπλαγιάσας: πλασάμενος.

π 413 Παραπλῆγας πέτρας: παραλίας, πλησσομένας ὑπὸ τῆς θαλάσσης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 414 Παραπλήκτῳ: τῇ μανικῇ. Σοφοκλῆς. παραπλήκτῳ χειρὶ συγκατακτάς. καὶ Αἰλιανός· ὁ δὲ οὐκ ἠνέσχετο παραληρεῖν αὐτόν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασε· καὶ τῶν Διοσκούρων ἑνὸς τὸ ξίφος διηρμένον τε καὶ ἐπανεστώς, καὶ πληγεὶς καιρίως ἐξέγρετο.

π 415 Παραπλήξ: μαινόμενος, παράφρων. Ἀριστοφάνης Πλούτῳ· ἢν δ' εἰς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω, πόρναισι καὶ κύβοισι παραβεβλημένος. ὁ ἄφρων. ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ. ἢ ὁ μωρός. ἀληθῶς γὰρ ἡ ἀσωτία πεπληγμένη ἐστὶ διάνοια. καὶ αὖθις· παραπλῆγι ἐοικότα ἐνθένδε ἀπαλλαγῆναι.

π 416 Παραπληξία: μανία.

π 417 Παραπόδας: ἐπίρρημα. εὐθέως· ἢ ἐγγύς· ἢ πλησίον. μετὰ ταῦτα παραπόδας ἀκρατέστατον μὲν αὐτὸν δείκνυσι πρὸς γυναῖκας. καὶ αὖθις· παραπόδας οὐ συμμαχικῶς, ἀλλὰ δεσποτικῶς χρῶνται.

π 418 Παραποδίζειν: ἐμποδὼν γίνεσθαι. Πολύβιος· βατώδεις ὄντας τοὺς τόπους ἐμπλέκεσθαι τοῖς ἐφάμμασι καὶ παραποδίζειν τὴν τῶν ὅπλων χρείαν.

π 419 Παραπολύ: παντελῶς. Θουκυδίδης ἐν α'· καὶ ἐνίκησαν οἱ Κερκυραῖοι παραπολύ.

π 420 Παραπολύ: ἐπίρρημα. ἀντὶ τοῦ πάνυ, παντελῶς. Δέξιππος· παραπολὺ ἀπελείποντο πείθεσθαι τοῖς εἰσηγουμένοις ἡσυχίαν αἱρεῖσθαι. Ἀριστοφάνης Πλούτῳ· δεινότατον ἔργον παραπολύ. ἀντὶ τοῦ πάνυ πολύ.

π 421 Παραπρεσβεία: τὸ ἔξω τι τῶν προστεταγμένων διαπράξασθαι. ὁ δὲ βασιλεὺς ἐχαλέπαινεν οἷα εἰκός, καὶ παραπρεσβείας ἐκρίνετο Ἰωάννης, ἅτε οὐ πρὸς τὸ συνοῖσον τῇ πολιτείᾳ διαπραξάμενος. καὶ αὖθις· οὗτος τὸν ἐμὸν ἀδελφὸν ἀπειλεῖ παραπρεσβείας αἱρήσειν καὶ διώξεσθαι.

π 422 Παρὰ προσδοκίαν: τουτέστι μετὰ μόχθου.

π 423 Παραρρεῖ· δοτικῇ.

π 424 Παραρρητοῖς: παρηγορικοῖς λόγοις, παραμυθήμασιν, ὑποθήκαις· οἱ δὲ συμβούλοις.

π 425 Παραρύμματα: δέρεις, σκεπάσματα.

π 426 Παραρυῶμεν: παραπέσωμεν.

π 427 Παρασάγγης: εἶδος μέτρου Περσικοῦ, ὅ ἐστι λ' στάδια. Ξενοφῶν· ὁ δὲ Κῦρος, ὁπόσον, ἔφη, ἄπεστι τὸ στράτευμα; οἱ δὲ ὡς δύο παρασάγγας εἶπον.

π 428 Παράσειρος: ὁ ἀκόλουθος ἵππος.

π 429 Παρασημαίνει: δηλοῖ, χαράττει.

π 430 Παράσημος: ἀδόκιμος. καὶ Παράσημον, τὸ σεσημασμένον, καὶ ὕποπτον. καὶ παράσημον ἦν τὸ λεγόμενον καὶ φυγὴν ἐδόκει δηλοῦν.

π 431 Παράσημος ῥήτωρ: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα· ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινι, ὃ τὴν φαυλότητα δηλοῖ· ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται.

π 432 Παράσιος· ὅτι μὲν ζωγράφος οὗτος δῆλον. φασὶ δὲ αὐτὸν υἱὸν εἶναι καὶ μαθητὴν Εὐήνορος, Ἐφέσιον δὲ τὸ γένος.

π 433 Παράσιτος: κόλαξ, τραπεζολοιχός. κοσσοτράπεζος. βελονοπώλης· οὗτος δανειστὴς ἦν, παράσιτος Παμφίλου τοῦ δημαγωγοῦ.

π 434 Παρασκευάζω· αἰτιατικῇ.

π 435

Παρασκευή· ὁ δὲ ἐπεκλήθη κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν. περὶ Ἑκαταίου φησί.

π 436 Παρασκήνια· ἔοικε παρασκήνια καλεῖσθαι ὁ παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους οὕτω φησὶ καλεῖσθαι.

π 437 Παρασπιστής: παρεστὼς ὁπλίτης.

π 438 Παρασπονδήσας: παραβὰς τὰς σπονδάς.

π 439 Παρασπονδοῦμαι: παραβαίνομαι.

π 440 Παρασταδόν: παραστατικῶς, κατὰ τρόπον, κατὰ τὸ δέον.

π 441 Παράστασις: στάσις παρά τινος ἄτιμος. γίνεται δὲ ἐπὶ τῶν χρεωφειλετῶν.

π 442 Παράστασις: ὁρμή, προθυμία. καὶ παράστασις ψυχῆς πρὸς ἐλευθερίαν ἐνέπεσε τοῖς πλήθεσι. διὸ πρὸς ἀλλήλους ἐδεινοπάθουν. καὶ Παράστημα ψυχῆς· οἱ δὲ Ῥωμαῖοι δι' ἀλκὴν σώματος καὶ παράστημα ψυχῆς ὀλίγου δεῖν τῆς οἰκουμένης ἐκράτησαν.

π 443 Παράστασις: τοὔνομα πολὺ παρὰ τοῖς ῥήτορσιν. ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Μένανδρος Μισογύνῃ· ἕλκει δὲ γραμματίδιον ἐκεῖσε δίθυρον, καὶ παράστασις μία δραχμή. Ἀριστοτέλης δὲ ἐν Ἀθηναίων Πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων φησίν· εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητίας καὶ βουλεύσεως καὶ γραφίου καὶ μοιχείας. Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς Περὶ νομοθεσίας τοὺς διαιτητὰς φησὶ λαμβάνειν τὰς δραχμάς, μίαν μὲν ἀπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν· ἑτέραν δὲ κατὰ ὑπωμοσίου ἑκάστην.

π 444 Παραστάται: οἱ ὁμόζυγοι τῶν λόχων πρωτοστάται καὶ ἐπιστάται· διὰ τὸ παρ' ἀλλήλοις ἵστασθαι. καὶ Παραστατεῖν, τὸ συμμαχεῖν. Ἀριστοφάνης Πλούτῳ· ὥσθ' ἡμῖν θεοὺς παραστατεῖν καίπερ γυναιξὶν οὔσαις. καὶ Παραστάτης. Ἀρριανός· πρόσταγμα σφίσιν ἦν, ὅπως τις ἐκνηξάμενος σταίη, ἐν τῷ ὕδατι προσμένειν τὸν παραστάτην οἱ ἐσόμενον. καὶ Εὐνάπιος· πολὺ διεστῶτας ἀλλήλων χωρεῖν ἐκέλευεν, ὅπως μὴ δουποίη τὰ ὅπλα μήτε τῷ παραστάτῃ θλιβόμενα μήτε τῷ φέροντι διὰ τὸν συνωθισμὸν περικτυπούμενα. καί, παραστατικώτερον τὸν κίνδυνον ὑπέμειναν. καὶ λαβόντες παράστασιν εἰς τὸ μαχομένους γενναίως ἀποθανεῖν. ἀντὶ τοῦ ὁρμήν, τόλμαν. καὶ αὖθις· διελέχθη παραστατικῶς ἅμα καὶ παρρησιαζόμενος. καὶ ἐπίρρημα Παραστατικῶς. ὁ δὲ ἔγραψε πικρῶς καὶ παραστατικῶς, ἀλάστορας ἀποκαλῶν καὶ παλαμναίους διὰ τῆς ἐπιστολῆς.

π 445 Παρασταυροῦντες: ὀρθὰ ξύλα πηγνύντες. οἱ δὲ παρασταυροῦντες ξύλα τῇ καταβάσει καὶ τὸ μέσον ἄλλοις ἐπικαρσίοις στεριφοποιοῦντες καὶ φορμοὺς ἐπιβάλλοντες ὕλης ἐμάλθαξαν τὸ πάνυ πρανὲς καὶ ὀλισθηρόν.

π 446 Παραστησάμενος: παραλαβών, ἑλών, καταστρεψάμενος.

π 447 Παραστήσομαι· ἐναντίον σοῦ, ἐνώπιόν σου στήσομαι. τὸ πρωῒ παραστήσομαί σοι. τοῦτο δὲ ἁρμόδιον λέγειν τοῖς κατὰ Ἠλίαν βεβιωκόσι καὶ παθῶν ὑπερανεστηκόσι.

π 448 Παραστησώμεθα αὐτὸν εἰς κρίσιν· Πολιτείας η'. ἀντὶ τοῦ καταστήσωμεν αὐτὸν εἰς κρίσιν. τὸ μὲν γὰρ ἔγκλημα ἀντωμοσία καλεῖται· ὁ δὲ ἐγκαλῶν γράψας τὸ ὄνομα εἰς πινακίδιον καὶ τὸ ὄνομα καὶ τὸ ἐπίσημον μεθ' ὑπηρέτου τῷ ἐγκαλουμένῳ ἐπιδίδωσι.

π 449 Παραστιχίς· Ἡρακλείδης ὁ Ποντικὸς εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις, ὡς Σοφοκλέους. αἰσθόμενος δὲ ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ τὸ γεγονός. τοῦ δὲ ἀρνουμένου καὶ ἀπιστοῦντος, ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε παγκάλως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 450 Παραστορῶ: ἐκτενῶ. ἀπὸ τῶν βυρσῶν. ἐγώ σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ.

π 451 Παρασύρω· αἰτιατικῇ.

π 452 Παρὰ σφᾶς ὃς οὐκ ἐσπλεῖν: παρὰ Θουκυδίδῃ. ἀντὶ τοῦ σχεδόν, ὡς τὸ μονονουχί.

π 453 Παρὰ σφῇσι: παρ' αὐταῖς. Παρὰ σφίσι δέ, διὰ τοῦ ι, παρ' αὐτοῖς.

π 454 Παρασχεδόν: παραυτίκα.

π 455 Παρασχηματίζειν· τοὺς τοῦ βασιλέως στρατιώτας διέβαλε φάσκων, τούτους μὲν παρασχηματίζειν, οὐδεμίαν ἀληθινὴν χρείαν παρεχομένους. τοῦ ἀληθοῦς παρατρέπεσθαι.

π 456 Παρασχόν: ἐπίρρημα. εἰ δέ γε παρασχὸν οὕτω κατάδηλος γένηται δόξαι λέγειν, ὡς παραγέγονε λέξων περὶ τῶν πρέσβεων.

π 457 Παράταξις: πόλεμος ἐμπαράσκευος.

π 458 Παραταχθείς: παρ' αὐτὸν ταχθείς.

π 459 Παρατέθηγμαι: ἠκόνημαι.

π 460 Παραπενθεῖς: ἀπολεῖς, ἐπὶ πλέον παρελκύσεις.

π 461 Παρατέταμαι: ἐξώγκωμαι. Ἀριστοφάνης· ἅλις ἀφύης. παρατέταμαι γὰρ ἐσθίων. λέγεται καὶ ἑνικῶς ἡ ἀφύη.

π 462 Παρατετολμηκότες: ἑαυτῶν ἀφειδήσαντες. Πολύβιος· παρατετολμηκότες καὶ τελέως ἀπελπίσαντες τὴν σωτηρίαν.

π 463 Παρατεῖναι: τὸ ἐπιτρέψαι, καὶ ἀπολέσαι. Κωμικὸς ἐπὶ Εὐβοίας· οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.

π 464 Παρὰ τὴν αὑτῶν φύσιν: ἀντὶ τοῦ, παραδόξως. οἱ δὲ τύραννοι παρὰ τὴν αὑτῶν φύσιν ᾐδέσθησαν τὴν ἱέρειαν κακῷ τῳ περιβαλεῖν.

π 465 Παρατηρημάτων: ἐπιτηρήσεων, κληδονισμῶν, καὶ ἀπαντήσεων, καὶ οἰωνοσκοπιῶν, καὶ μαντειῶν.

π 466 Παρατηρῶ· αἰτιατικῇ.

π 467 Παρατίλλεται: διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ διατίλλεται· αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς, ἀποραφανίδωσις καὶ παρατιλμοὶ τοῖς πένησιν· οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο· οἱ δὲ ἀποροῦντες μὴ δυνάμενοι χρήμασι λυτροῦσθαι τὴν φυγὴν δημοσίᾳ ταῦτα ἔπασχον, Ἀριστοφάνης Πλούτῳ· ὁ δ' ἁλούς γε μοιχὸς διὰ σέ που παρατίλλεται. καὶ αὖθις Ἀριστοφάνης· παρατίλλω τρίχας. παρατίλλομαι δὲ ἐκ τῶν μυκτήρων τίλλω τρίχας ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν οἱ προσδεχόμενοι μέν τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίαν καὶ ἀμηχανίαν, μὴ τυγχάνοντες τοῦ προκειμένου λογισμοῦ· ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται ἀλύοντες, καὶ ἐπιγράφουσι.

π 468 Παρὰ τὸ καθεστηκός: οἷον παρὰ τὸ νόμιμον, παρὰ τὸ πρέπον.

π 469 Παράτοπον: εἰς κακὸν τόπον. παράτοπον ὁρμήσαντες διὰ τὴν ἀπειρίαν, ἔστι δ' ὅτε καὶ διὰ τὰς ἀμπώτεις τῆς θαλάττης.

π 470 Παράτον: ἡ παρασκευὴ παρὰ Ῥωμαίοις. ἐξ οὗ καὶ ἀντιπαράτωρα, ἡ κόσμησις ἢ ἄλλη εὐπρέπεια.

π 471 Παρὰ τοσόνδε ἧκον ἀπορίας ὑπὸ τῶν κακοπραγιῶν ὥστε ἀπὸ κυνηγεσίων ἐτρέφοντο.

π 472 Παρὰ τούτου: ἀντὶ τοῦ ἀπὸ τούτου. καὶ παρὰ τοῦτον, ἀντὶ τοῦ πρὸς τοῦτον. οὕτως πανταχοῦ Ἀρριανός.

π 473 Παρατρέπω· αἰτιατικῇ.

π 474 Παρατρέχω· αἰτιατικῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 475 Παρατριβή: λογομαχία, ἔρις. τὴν γενομένην πρὸς αὐτὸν παρατριβὴν καὶ ζηλοτυπίαν.

π 476 Παρατρύζει: παραφωνεῖ. εἴληπται δὲ ἀπὸ τῶν ὀρνέων, ὅταν τοῖς οἰκείοις νεοττοῖς γοερὰ ἐπιφωνῶσι.

π 477 Παρατρυφῶ· δοτικῇ.

π 478 Παρατυχόν: ἀντὶ τοῦ παρατυχόντος· ὡς καὶ ἐξὸν ἀντὶ τοῦ ἐξόντος.

π 479 Παραυδήσας: παραμυθησάμενος.

π 480 Πάραυλος: ὁ ἐν ἀγροῖς. ἢ Πάραυλος, παρατεταμένη. ἢ ἐγγύς· παρὰ τὴν αὐλήν. ἢ θρηνητική· παρὰ τοὺς αὐλούς. Σοφοκλῆς· τίνος βοὴ πάραυλος ἐξέβη νάπους.

π 481 Παραυτόθεν: αὐτίκα, ἀπὸ τοῦ παρόντος χρόνου. Ἀρριανός· παραυτόθεν, ὡς ἔχομεν, ἐπεξελθόντες, ἐν χερσὶ στήσασθαι τὸ τέλος τῆς μάχης.

π 482 Παράφορος: ὁ παρ’ ἑαυτὸν καὶ ὑπὸ δαίμονος παραφερόμενος. συνενθουσιῶντες αὐτοῖς καὶ τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ τῇ κακίστῃ δαιμόνων ἐκριπισθέντες ἀπολώλασι.

π 483 Παραφρόνιμον: παράφρονα, ἀνόητον, καὶ ἄπορον περὶ τὰ φρονήματα. ἴσθι δέ, παραφρόνιμον, ἄπορον ἐπὶ φρόνημα πεφάνθαι μ’ ἄν, εἴ σε νοσφίζομαι.

π 484 Παραφρονῶ· αἰτιατικῇ.

π 485 Παραφρυκτωρευόμενος: οἱ κακουργοῦντες περὶ τὰς φυλακὰς καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντίους τοῖς πεπιστευκόσι τὴν φυλακὴν καὶ ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων παραφρυκτωρεύεσθαι λέγονται, ὥς φησι Λυσίας· τούτων εἷς ὁ πρεσβύτης ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις, ληφθεὶς ὑπὸ Λαμάχου ἀπετυμπανίσθη.

π 486 Παραφρυκτωρεῖν: τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων ἐπὶ βλάβῃ δὲ τῶν φιλίων· ὡς καὶ Δείναρχος ἐν οἰκείῳ λόγων ἐχρήσατο.

π 487 Παραφυλάσσω: προσδοκῶ. Ἰώσηπος· παραφυλάσσω γὰρ ἐν Χάλβῳ Πλάκιδον εἰς τὴν Γαλιλαίαν ἀναβῆναι δι’ ἐννοίας ἔχοντα.

π 488 Παραχαράκτης: διαστροφεύς.

π 489 Παραχναύω· δοτικῇ.

π 490 Παραχορδιεῖς: παράσεμνον ποιήσεις, μηδὲν πρὶν φθέγξῃ, ἀλλ’ ἃ δεῖ εἰπεῖν εἴπῃς. σαυτῷ προσέχων, ὅπως μηδὲν παραχορδιεῖς ὧν δεῖ ς’ ἀποδεῖξαι.

π 491 Παραχορδίζειν: διαφωνεῖν, ἁμαρτάνειν.

π 492 Παραχωρῶ· γενικῇ. παραχωρῆσαι τῶν θρόνων τοῖς βουλομένοις.

π 493 Παραχρᾶται: πολύ, σφοδρῶς συνουσιάζει, ἀκολάστως μίγνυται. εἴρηται δὲ καὶ ἐπὶ ἑκάστου πράγματος ἐκ περιουσίας γενομένου. περὶ Ὠριγένους· σοὶ δὲ κακομηχανίᾳ εἰς αἰσχρότατον ἄνδρα ἐπενοήθη. Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν εἰς παράχρησιν τοῦ σώματος.

π 494 Παραχρῆμα: παραυτίκα, εὐθέως. μηδὲν δὲ μηδὲ ἐκ τοῦ παραχρῆμα ἀποκριναμένων. ἢ ἀντὶ τοῦ ἐκ τοῦ παρατυχόντος. καὶ ὡς ἐν τῷ παραχρῆμα ὥρμηντό τε ἐξιέναι καὶ ψηφίσματι τὴν στρατείαν ἐκύρωσαν, ὥρμητό τε πᾶς ἐς τὴν ἐπιχείρησιν. Δέξιππός φησι.

π 495 Παρδακόν.

π 496 Παρδαλῆ: παρδάλεως δορά. Ἀριστοφάνης· πέμψω ἐπ’ αὐτὸν ὄρνεις πορφυρίωνας παρδαλᾶς ἐνημμένους. Πόρδαλις, τὸ ζῷον. Ὅμηρος· θώων πορδαλίων τε λύκων τ’ ἤϊα πέλονται. καὶ Ἀριστοφάνης· οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον, οὐδὲ πῦρ, οὐδ’ ὧδ’ ἀναιδὴς οὐδεμία πόρδαλις.

π 497 Παραιβάτης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 498 Παραινῶ· δοτικῇ.

π 499 Παραίνεσις: ἡ ἀγαθὴ συμβουλή. Παραίνεσις συμβουλῆς διαφέρει· παραίνεσις μὲν γάρ ἐστι λόγος παραινετικὸς ἀντίρρησιν οὐκ ἐπιδεχόμενος· οἷον ὡς εἴ τις εἴποι, ὅτι δεῖ τὸ θεῖον τιμᾶν· οὐδεὶς γὰρ ἐναντιοῦται τῇ παραινέσει ταύτῃ, μὴ πρότερον μανείς. συμβουλὴ δέ ἐστι λόγος συμβουλευτικὸς ἀντίρρησιν ἐπιδεχόμενος· οἷον ὡς εἴ τις εἴποι, ὅτι δεῖ πολεμεῖν· πολλὰ γάρ ἐστι τὰ ἐκ τοῦ πολέμου κέρδη· ἕτερος δέ τις ἀντείποι, ὡς οὐ δεῖ πολεμεῖν· πολλὰ γάρ ἐστι τὰ ἐκ τοῦ πολέμου συμβαίνοντα, οἷον ἧττα, αἰχμαλωσία, πληγαί, πόλεων κατασκαφαί.

π 500 Παραιξοροῦσιν· Ἀριστοφάνης Ταγηνισταῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι· Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι.

π 501 Παραιρήσεται: ἀφαιρήσεται. Θουκυδίδης· διέφθειρον σφᾶς αὐτούς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτοις, οἱ δὲ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες (τουτέστιν ἀφαιρέματα) ἀπήγχοντο.

π 502 Παραιροῦνται: ἀφαιροῦνται. καὶ Παραιρούμενος. ὁ δὲ ἐξόπισθεν πλέον, παραιρούμενος φθάνει τῷ δρόμῳ. ἀντὶ τοῦ ἀφαιρούμενος. καὶ αὖθις· ὧνπερ αὐτοῖς ἡμᾶς συγγνώμονας εἶναι οὐδεμία μηχανὴ ἔσται, τοῦ τῶν ἐγκλημάτων ὄγκου παραιρουμένου τοῖς ἠδικηκόσι τὸν ἔλεον.

π 503 Παραίσια: ἀπαίσια, χαλεπά. παρὰ τὸ δέον, παρὰ τὸ προσῆκον.

π 504 Παραιτεῖσθαι: παρακαλεῖν, συγγνώμην αἰτεῖν. ὁ δὲ ἀναιρεῖν μέλλων αὐτὸν ἀφῆκε, Παρυσάτιδος παραιτησαμένου αὐτὸν καὶ τὴν σατραπείαν αὐτῷ φυλαξάσης. καὶ αὖθις· ὁ δὲ ῥύεται Δερκεταῖον τοῦ θανάτου παραιτησάμενος τὴν μητέρα.

π 505 Παραιτηθείς: παρακληθείς. παραιτηθεὶς δὲ διὰ τῶν φίλων τοῦτον ἀπέλυσε τῆς αἰτίας.

π 506 Παραιτεῖτο: παρεκάλει, ἐλιπάρει. ὁ δὲ ἐλθὼν παρῃτεῖτο τὸν Πέρσην· τυγχάνων δὲ οὐδενὸς ὧν ἐδέετο αὐτὸς ἔλυσεν. Ἡρόδοτος.

π 507 Παραιτησάμενος. ἀπέδωκε τὸν χρυσόν, ὡς παραιτησόμενος τοῦ θεοῦ δι' αὐτοῦ τὸν χόλον· νήπιος, οὐδὲ τὸ ᾔδει, ὃ πείσεσθαι ἔμελλεν· οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.

π 508 Παραιτητής: παρακλήτωρ, ἢ ἀπολογούμενος.

π 509 Παραιτοῖτο: παρακαλοῖ, ἀπαγορεύοι. ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος, παρελθών, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν, εἰ μὴ ἀγωνίζοιτο.

π 510 Παραιτοῦμαι: τὸ ἱκετεύω· αἰτιατικῇ.

π 511 Παραίφασις: παραίνεσις, συμβουλή.

π 512 Παρέβαλεν: ἐχθροὺς καὶ ἀλλοτρίους εἰργάσατο. ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλοις, ὥστε μετὰ πάσης ὕβρεως συλληφθέντας ἀναδεχθῆναι δεδεμένους. οἷον παρέβαλέ τις τῶν γερόντων.

π 513 Παρεβάλετο: ὥρμησεν, εἰσήλασε. παρεβάλετο μάλα εὐκαρδίως ἐπ' αὐτὸν ὁρμήσας. ἢ ἀπροβούλως ἔκρινε.

π 514 Παρεβέβλητο: τροφὴ ἐδίδοτο. ἄρτι γὰρ αὐτῇ παρεβέβλητο τροφή. τουτέστι τῇ καμήλῳ.

π 515 Παρεγγεγραμμένος: ὁ μὴ ἀστός.

π 516 Παρέγγραπτον: νόθον. καὶ Παρεγγράπτους, ξένους, νόθους.

π 517 Παρεγγυᾷ· δοτικῇ. παραδίδωσι, παραγγέλλει, παραινεῖ, παρακατατίθεται. Ξενοφῶν· βοώντων τῶν στρατιωτῶν καὶ παρεγγυώντων, ἔνθα δὴ ἔθεον ἅπαντες. καὶ αὖθις· ὅτου δὴ παρεγγυήσαντο οἱ στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κολωνὸν μέγαν. ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος καὶ βακτηρίας καὶ γέρρα.

π 518

Παρεγγύησε καὶ Παρεγγυηθέντος· παρεγγύησε μὲν ἀντὶ τοῦ παρέδωκεν· Ἰσαῖος. παρεγγυηθέντος δὲ ἀντὶ τοῦ παραλαβόντος. ὁ αὐτός.

π 519 Παρεγγυήσοντος: παρασχόντος. καὶ Παρενεγγύα, παρήγγελλεν. ὁ δὲ παρενεγγύα αὐτῷ Πέρσαις μὴ συμπλέκεσθαι. Παρενεγγύησε, παρήνεσε, συνεβούλευσε. ταύτῃ τοι παρενεγγύησε δηλητηρίῳ φαρμάκῳ διαφθεῖραι αὐτούς.

π 520 Παρέδωκεν· ὁ Ἀπόστολος λέγει· παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν. τουτέστι συνεχώρησε.

π 521 Πάρεδρος· Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ φησί· λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἀρχὼν καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος, οὓς ἂν βούληται. καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν, ἐπὰν παρεδρεύωσιν. ἔστι δὲ ἡ λέξις συνήθης οὐ τοῖς ῥήτορσι μόνον, ἀλλὰ καὶ τοῖς κωμικοῖς.

π 522 Παρεθέντος: ἐκλυθέντος. καὶ Παρεθείς, παραλυθείς. καὶ Παρείθη, ἐξελύθη, ἐχαυνώθη. ὁ δὲ κινδύνοις ὁμιλήσας παρείθη τὸ σῶμα πᾶς καὶ λυπηροῦ θανάτου τέλει παρεδόθη. καὶ Παρείθησαν, ἀντὶ τοῦ παρελύθησαν. Ἰώσηπος· οἱ δὲ πλήθει τῶν πολεμίων παρείθησαν τὰς δεξιάς. καὶ αὖθις· οἱ δὲ τοῦ μὲν ὁλοσχεροῦς φόβου παρείθησαν· περὶ δὲ τῶν κατὰ μέρος ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

π 523 Παρέκαστα: ἑκάστοτε.

π 524 Παρεκαττύετο: ἐκ συλλογῆς ηὐτρέπιζεν. ἀπὸ τῶν καττυμάτων. καττύματα δὲ λέγονται οἱ μικροὶ ἱμάντες, οἱ ἐρριμμένοι ἐπὶ τῆς κόπρου. λέγει οὖν ἐκ μικρῶν καὶ πολλῶν τὴν στιβάδα ηὐτρεπίζομεν. Ἀριστοφάνης Πλούτῳ· ἡμῶν δ’ ἕκαστος στιβάδα παρεκαττύετο.

π 525 Παρεκβατικῶς: συντόμως.

π 526 Παρεκλέγω· αἰτιατικῇ.

π 527 Παρὲκ νόον: ἀντὶ τοῦ παρ’ ἐλπίδα. παρὲκ νόον εἰλήλουθας.

π 528 Παρεκότει: ὠργίζετο.

π 529 Παρεκρότουν: παρώρμων, παρώτρυνον. τούτους ἀθροίζοντες ἀλλήλους παρεκρότουν.

π 530 Παρεκρούσατο: ἐπλάνησεν.

π 531 Παρεκστῆναι: παρεκτραπῆναι. ὥστε καὶ τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς γενέσθαι καὶ παρεκστῆναι ταῖς διανοίαις, συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ.

π 532 Παρεκτός: ἐπίρρημα.

π 533 Παρέλαβε τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφοῦσαν.

π 534 Παρελέξατο: παρεκοιμήθη. ἐχρήσατο δὲ Ὅμηρος τούτῳ ἐπὶ ἵππου καταχρηστικῶς· οὐ γὰρ παρακλίνεται ἵππος, ἀλλ’ ἐπιαναβαίνει.

π 535 Παρελθεῖν: τὸ αὐτίκα δηλοῖ παρὰ Θουκυδίδῃ. τὸ δὲ ἐπελθεῖν, τὸ ἀναβαλλόμενον χρόνῳ δὲ τοῦτο διαπράξασθαι.

π 536 Παρελθεῖν: ἀντὶ τοῦ νικῆσαι. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

π 537 Παρελθών: ἀντὶ τοῦ εἰσελθών.

π 538 Παρέλκον: περιττόν, ἢ παρατεῖνον.

π 539 Παρέλκυσις: ὑπέρθεσις.

π 540 Παρελογίσασθε: ἠπατήσατε.

π 541 Παρ’ ἐλπίδα: ἐπίρρημα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 542 Παρέλυσαν: ἀπήλλαξαν, μετέστησαν· Θουκυδίδης ζʹ· τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς.

π 543 Παρεμβαλεῖ: παρατάξεται.

π 544 Παρεμβαλόντων: κυκλωσάντων.

π 545 Παρεμβολή: σκηνή, κάστρον, στρατόπεδον. ἐπὶ τοῦ μεγάλου Ἀντωνίου κεῖται τὸ παρεμβολὴ ὄνομα. Παρεμβολὴ παρεντάξεως διαφέρει· παρεμβολὴ μὲν γάρ ἐστιν ἡ τῶν ὁμοίων παρένθεσις, οἷον ὁπλιτῶν πρὸς ὁπλίτας ἢ ψιλῶν πρὸς ψιλοὺς παρένταξις δὲ ἡ τῶν ἀνομοίων, οἷον ὁπλιτῶν πρὸς ψιλοὺς ἢ ψιλῶν πρὸς ὁπλίτας. πάλιν παρεμβολὴ λέγεται, ὅταν προτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ’ εὐθείας.

π 546 Παρεμβολή: παράταξις. καὶ Παρεμβάλλειν, παρατάσσεσθαι.

π 547 Παρέμπτωσις: προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν· οἷον ξένος, ξεῖνος, ἔνατος, εἴνατος.

π 548 Παρεμφῆναι. παραδεῖξαι, παρασημᾶναι.

π 549 Παρενείρει: παρεμβάλλει, ἤγουν λέγει

π 550 Παρένησαν· Θουκυδίδης· ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο.

π 551 Παρενθέμενος: παραλογισάμενος. ὁ δὲ Ἀκάκιος παρενθέμενος τὰ τοῖς κανόσι διηγορευμένα καὶ τὸ θυσιαστήριον καταλαμβάνει καὶ τὰ ἐξ ἔθους ἱερεῦσιν ἐπιτελεῖ.

π 552 Παρενθήκη: προσθήκη.

π 553 Παρέντες: παραλυθέντες, ἀμελήσαντες. τὼ χεῖρε καὶ τὰς πανοπλίας παρέντες.

π 554 Παρενοχλῶ· δοτικῇ.

π 555 Παρέξ: παρεκτός.

π 556 Παρεξαγωγή.

π 557 Παρεστηκὼς ἄνθρωπος τῇ διανοίᾳ καὶ φιλοδοξῶν ἐν τῇ πρὸς αὐτὸν διαφθορᾷ.

π 558 Παρεξειρεσίαν: τὸ ἔξω τῶν ἐρεσσόντων. ἐν τετάρτῃ Θουκυδίδης. Ἀρριανός· τῶν μὲν κωπῶν ἔστιν ἃς ξυνέτριψαν, καὶ τῆς παρεξειρεσίας τινὰ ἀπέθραυσαν.

π 559 Παρεξειρεσίας: παρὰ Θουκυδίδῃ τὸ κατὰ τὴν πρώραν πρὸ τῶν κωπῶν· ὡς ἂν εἴποι τις τὸ παρὲξ τῆς εἰρεσίας.

π 560 Παρεξηυλημένον νοῦν: οἷον διεφθαρμένον καὶ ἀμυδρὸν ὑπὸ γήρους. μετήνεκται δὲ ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς· οἱ γὰρ κατατετριμμένοι ἐξηυλῆσθαι λέγονται. Ἀριστοφάνης· οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους. κωφοὺς δὲ οἷον ἀφώνους. Ὅμηρος· κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος.

π 561 Παρεωραμένος καὶ Παρῃωρημένος.

π 562 Παρεπίδημος. καὶ ὁ βίος ἡμῶν παρεπιδημία.

π 563 Παρέπτη: παρῆλθεν.

π 564 Παρέργως: ὀλιγώρως. οὐ μὴν οὐδὲ τὸ πάρεργον ἄξιον σιωπῆσαι, καθάπερ ἀγαθοῦ τεχνίτου. περὶ τοῦ Σκιπίωνος λέγων ὁ Πολύβιος. καὶ αὖθις· ἔγνωσαν δὲ οἱ Λακεδαιμόνιοι μὴ πάρεργον ποιήσασθαι τὸν ἀπόστολον.

π 565 Παρερπύσασα: ἠρέμα εἰσελθοῦσα. εἴσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με ἰδεῖν.

π 566 Παρέρχεται· αἰτιατικῇ ὑπερβάλλει.

π 567 Πάρες: ὑποχώρησον.

π 568

Πάρεσις: νέκρωσις. Ἀππιανός· οἱ δὲ Λατῖνοι ἐγκλήματα εἰς Ῥωμαίους ἐποιοῦντο τήν τε πάρεσιν αὐτοῦ τὴν ἐπὶ σφᾶς, ὄντας ἐνσπόνδους καὶ συγγενεῖς. τουτέστι τὴν ἀμέλειαν, τὴν καταφρόνησιν.

π 569 Παρέστη: ἐγένετο, περιέσχε. πανταχόθεν δὲ ὑπὸ τῶν πολεμίων περιεχόμενοι, δεινὴ παρέστη πρὸς τὸ πλῆθος ἀμηχανία.

π 570 Παρεστηκότες: συνημμένοι, τεθαρρηκότες. Ἀρριανός· οἱ δὲ ἐσκεδασμένοι καὶ οὐ παρεστηκότες ταῖς γνώμαις ἐς φυγὴν ἐτράπησαν.

π 571 Παρεστηκότος: προϋπάρχοντος, ἐνεστῶτος. ὁ δὲ πρὸς πᾶν ἀναιδεύεται καὶ οὐ μεθίστησι τοῦ χρώματος τοῦ παρεστηκότος.

π 572 Παρεστήσαντο· ἀμαχεὶ δὲ πλείστας τῆς Ἰταλίας παρεστήσαντο πόλεις. ἐπόρθησαν, ἥλωσαν.

π 573 Πάρεστιν· δοτικῇ. ἐκ παντὸς δυνατόν ἐστιν.

π 574 Παρέσφηλε: παρεμφαίνεται, ἐσφάλη, ἀπερρύη.

π 575 Παρετέον: σιωπητέον παραληπτέον.

π 576 Παρέτραγον· καὶ τοῦ κύκλου παρέτραγον ὑφ’ ἁρματωλίας. ἀντὶ τοῦ φειδόμενοι τῶν ἁρμάτων αὐτῶν.

π 577 Παρευδοκιμησάσης: νικησάσης. ἤτοι εἰς δόξαν ὑπερβάσης. καὶ Παρευδοκιμῶ· αἰτιατικῇ.

π 578 Παρευθύνει: παραφέρει, βιάζεται.

π 579 Παρευθύς.

π 580 Παρευνηθείς: παρακοιμηθείς.

π 581 Παρευρημένως· δικαιότατα καὶ παρευρημένως κρινόντων.

π 582 Παρέχοντας· Ἡρόδοτος· κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους τελευτῆσαι τὸν αἰῶνα, ἤπερ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ μόρῳ. καὶ Παρέχω· δοτικῇ.

π 583 Πάρει: ἐλήλυθας, παρεγένου τίνα λόγον ἄρα ποτὲ πρὸς ἐμέ, φίλ’, ἔχων πάρει; κοινόν, ἀσφαλῆ, δίκαιον, ἡδύν, ὠφελήσιμον. ἀντὶ τοῦ κοινωφελῆ, ἀσφαλῆ. τουτέστιν ἀληθῆ καὶ σφαλῆναι μὴ δυνάμενον.

π 584 Παρειά: γνάθος. καὶ μέρος τῆς νεώς.

π 585 Παρεῖαι ὄφεις: ὀνομάζονταί τινες ὄφεις οὕτως, παρὰ τὸ παρειὰς μείζους ἔχειν. ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου φησίν, εἶναι δὲ τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι· τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας· τῶν δὲ ὄφεων αὐτῶν τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν, τοὺς δὲ παρείας αὐτοὺς τοὺς ἔχεις κατεσθίειν.

π 586 Παρείη. ὁ δὲ Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ· καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνεβίβαζεν.

π 587 Παρείθη: παρελύθη. εἶτα μέντοι τὰ δεξιὰ παρείθη μέρη.

π 588 Παρεικάθη: παρελύθη.

π 589 Παρεικότος: παραλελυμένου.

π 590 Παρείκοι: ὑποχωροίη. πέμποντες ἱππέας ἐκδρόμους, ὅπη παρείκοι, τροφὰς ἐλάμβανον. ὅπου ἦν δυνατόν. καὶ αὖθις· σφοδρότατα σφᾶς ἐπιδιώκοιμεν, ὅπη παρείκοι. ὅπου ἐστὶ δυνατόν, ὅπου τρέποιτο ὁ πόλεμος. καὶ αὖθις· ὁ δὲ Τραιανὸς ἔγνω μάλιστα, εἰ παρείκοι, ἐξελεῖν τὸ ἔθνος· εἰ δὲ μή, συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας.

π 591 Παρειμένον: κεχαυνωμένον.

π 592 Παρειμένος: παρεωραμένος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 593 Παρείμην: συγχωρήσαιμι. Σοφοκλῆς· οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν. τουτέστιν οὐκ ἂν συγχωρήσαιμι.

π 594 Πάρειμι: ὑπάρχω.

π 595 Παρεῖναι: τὸ παραγίνεσθαι, καὶ ὑπάρχειν. Παρῆναι δὲ κεντηθῆναι.

π 596 Παρείπῃ: παραπείσει.

π 597 Παρειπών: παραινέσας.

π 598 Παρείραντα: παρεισβαλόντα. Πολύβιος· οὔτ’ ἐπιβαλέσθαι παρείραντα τὴν χεῖρα δυνατόν, ἅτε πυκνῶν οὐσῶν.

π 599 Παρείρπυσεν: εἰσῆλθεν. ὡς ἐπὶ ὄφεως δὲ εἶπεν, ἐπειδὴ τυφλὸς ἦν ὁ γλάμων. πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσεν.

π 600 Παρείς: ἐάσας, ἀφείς.

π 601 Παρείς: ἀμελήσας, ἐπικατακλίνας, ὀλιγωρήσας. καὶ παρεὶς ἑαυτὸν ὑπὸ λύπης ἔκειτο. Παρῆς δὲ ἀντὶ τοῦ ὑπῆρχες.

π 602 Παρείσακτον: ἀλλότριον.

π 603 Παρεῖσαν: εἴασαν, ἀφῆκαν.

π 604 Παρεισελθεῖν: τὸ μετ’ ἄλλου πλαγιάσαντος συνεισελθεῖν, ἐλθεῖν δὲ τὸ γυμνῇ τῇ παρρησίᾳ χρήσασθαι. διὰ τοῦτό φησιν ὁ Ἀπόστολος· παρεισῆλθεν ὁ νόμος.

π 605 Πάρεισιν αὐτῷ τέκνα.

π 606 Παρείσθω: συγχωρείσθω.

π 607 Παρεισκρίνει: παρεισέρχεται, παρεισβάλλει.

π 608 Παρεῖτε: παραγίνεσθε.

π 609 Παρεῖτο: ἠμελεῖτο, παρῃρεῖτο. τῶν μὲν ἐξ ἐμοῦ παίδων πόθος παρεῖτο. καὶ Παρεῖτο, διελύετο.

π 610 Παρηβηκώς: γεγηρακώς.

π 611 Παρηβῆσαι: παρακμάσαι.

π 612 Παρήγαγε: παρήνεγκεν. ἐν τῷ δείπνῳ παῖδα αὐτοῦ ὀρχησάμενον βαρβαρικῶς παρήγαγεν.

π 613 Παρήγγελλον: ἐτάσσοντο, συνηριθμοῦντο. Ἀππιανός· πᾶς τις αὐτῶν καὶ συμμάχων ὥρμα, καὶ ἐθελονταὶ παρήγγελλον εἰς τὸν κατάλογον.

π 614 Παρηγορίας: συμβουλῆς, ἢ παρακλήσεως. καὶ ἐν Ἐπιγράμμασι· παίγνιά τ’ ἀμφιέπουσι παρήγορα καὶ κατ’ ἀγυιὰς πλάζονται.

π 615 Παρηέρθη: ἀπὸ τοῦ ἀείρω, ἀερῶ, ἤερκα ἤερμαι, ἠέρθην καὶ παρηέρθην.

π 616 Παρῄεισαν: παρῆλθον.

π 617 Παρήκαμεν: ἐπέμψαμεν· ἢ ἀφήκαμεν.

π 618 Παρῆκον· μὴ διὰ πάσης ἰέναι ἐξετάσεως, ἀλλὰ μετρίας κατὰ τὸ παρῆκον τῆς αὐτῶν προαιρέσεώς τε καὶ δυνάμεως.

π 619 Παρήκοντα: παρατείνοντα· ὡς διήκοντα ἐπεκτεινόμενα. ἐκ τοῦ παρείκοντος δὲ ἀντὶ τοῦ ἀναδιδοῦντος.

π 620 Παρήλλαξαν· ἐπειδὴ δὲ παρήλλαξαν τὴν ἐνέδραν, ἄφνω πάντες ἐπεφάνησαν. ἀντὶ τοῦ παρῆλθον.

π 621 Παρῆλθεν· αἰτιατικῇ.

π 622 Παρήλασεν: ὑπερήλασεν, ἤτοι ἐνίκησεν.

π 623 Παρήλιξ, παρήλικος.

π 624 Παρήλιος: νεφέλη πεπυκνωμένη καθ’ ὑπερβολὴν καὶ ἐναυγαζομένη ὑπὸ τοῦ ἡλίου.

π 625 Παρῆν: παρήμην. ἑνικῶς κατ’ Ἀττικούς.

π 626 Παρηνώχλουν.

π 627 Παρήορος: παρειμένος τὰς φρένας.

π 628 Παρῄορος ἵππος. καὶ Παρηορίῃσι, ταῖς ἔξω τοῦ ζυγοῦ ἡνίαις.

π 629 Παρῃρηκώς: λαβών.

π 630 Παρῄρηντο: ἀφήρπαζον, ἀφῃροῦντο. καὶ φρούρια δὲ αὐτῶν παρῄρηντο περὶ τοὺς αὐτοὺς καιρούς. καί, παρῃρεῖτο τῆς ἐξουσίας ὅσον μέρος αὐτῷ.

π 631 Παρῃρῆσθαι: ἀφῃρῆσθαι. ὁ δὲ ἐγεγήθει ἐπὶ τῷ παρῃρῆσθαι αὐτοῖς τῇ διαλύσει τοῦ κρυστάλλου τὴν πεζὴν ἐπάνοδον.

π 632 Παρήρηται: παρατέτμηται.

π 633 Παρήρτητο. καὶ Παρηρτημένος· τῷ ξίφει, ὃ ἔτυχε παρηρτημένος (ἀντὶ τοῦ φορῶν, βαστάζων), ἑαυτὸν διέφθειρεν.

π 634 Παρῆς: ὑπῆρχες.

π 635 Παρῆσαν: ὑπῆρχον.

π 636 Παρρησία: ἐξουσία, ἄδεια. οἱ δὲ τῇ μαχαίρᾳ τὴν παρρησίαν ἐδίδοσαν. οἱ ῥήτορες τῇ παρρησίᾳ κατεχρήσαντο ἐπὶ τῶν ὀνειδίζειν μελλόντων τοὺς ἀκούοντας, ὅταν οἱ διαλεγόμενοι τῶν οὐ δεόντως ποτὲ πεπραγμένων μνημονεύωσιν· ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· Νικόδημος δὲ ὑπὸ Ἀρισταγόρου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δείλαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν ἐκτμηθείς, ᾗ ἐπαρρησιάζετο, πιστεύων τοῖς νόμοις. καὶ ἐν τῷ τῆς παραπρεσβείας· προῄρημαι δὲ παρρησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σῴζεσθαι.

π 637 Παρρησίας: ἀντὶ τοῦ βλασφημίας, καὶ λοιδορίας. Ἰσοκράτης Βουσίριδι.

π 638 Παρῆσθαι· καὶ Παρῆστο, παρεκαθέζετο.

π 639 Παρήσω: παράσχω.

π 640 Παρῆτε: παρεγένεσθε.

π 641 Παρῃτήσθω: συγκεχωρήσθω.

π 642 Παρῃτεῖτο· ἀποτίσειν τὰς βοῦς ὡμολόγει, καὶ κακῶς παρῃτεῖτο τὸ ἁμάρτημα. καὶ ἐπὶ τοῦ παρεκάλει. οἱ δὲ παρῃτοῦντο τοὺς προμαχομένους μικρὸν ἀνασχεῖν.

π 643 Παρίας λίθου· Αἰλιανός· δείκνυται καὶ νῦν ὑπὸ λίθῳ Θεοπόμπου, πατρόθεν ὁμολογοῦντος αὐτὸν τοῦ ἐπιγράμματος, εἴδωλον Παρίας λίθου, καὶ ἔστι τὸ ἴνδαλμα τοῦ πάθους μάλα ἐναργές, κλίνη, καὶ αὐτὴ λίθου.

π 644 Παρία λίθος: θηλυκόν, ἡ λίθος. Αἰλιανός· καὶ μέντοι καὶ Παρίας λίθου ἅρμα ἀνακείμενον Διονύσῳ, ποίημα θαυμαστόν, ἀνείλετο θεοσυλήσας.

π 645 Παριδόντες: καταμελήσαντες.

π 646 Παρίεμαι: παραιτοῦμαι.

π 647 Παριεμένους: παρερχομένους.

π 648 Παριέναι: συγχωρεῖν ἀφιέναι. οἱ δὲ διεμαρτύροντο τὸν Φίλιππον μὴ παριέναι τὸν καιρόν, μηδὲ καταμέλλειν.

π 649

Παρίημι: συγχωρῶ. εἴ τις ἐπελθὼν ἡμῶν εἰς τὴν παρεμβολὴν τολμήσει, παρίημι λέγειν ἐς τὴν πατρίδα.

π 650 Παρίεται: παραλύεται.

π 651 Παρίλια: ἑορτή.

π 652 Πάριον: ὄνομα ἀγροῦ, ἀπὸ Πάριδος τοῦ καὶ Ἀλεξάνδρου κληθέν· ἐκεῖσε γὰρ ἔπεμψεν αὐτὸν Πρίαμος ὁ πατὴρ τρέφεσθαι· τοπρὶν δὲ ἐκαλεῖτο Ἄμανδρος ὁ τόπος. ἐκεῖ τε διατρίψας Ἀλέξανδρος τοὺς λʹ ἐνιαυτοὺς φύσεώς τε δεξιᾶς τετυχηκὼς πᾶσαν ἐπαιδεύθη σοφίαν Ἑλληνικήν. ἐξέθετο δὲ καὶ λόγον εἰς ἐγκώμιον τῆς Ἀφροδίτης, λέγων μείζονα αὐτὴν εἶναι τῆς Ἀθηνᾶς καὶ τῆς Ἥρας· τὴν γὰρ Ἀφροδίτην τὴν ἐπιθυμίαν εἶπεν, ἐξ ἧς τίκτεται παντὰ τὰ κακὰ ἀνθρώποις. ἐντεῦθεν φέρεται μῦθος, ὅτι ὁ Πάρις ἔκρινε μεταξὺ Παλλάδος καὶ Ἥρας καὶ Ἀφροδίτης καὶ τῇ Ἀφροδίτῃ δέδωκε τὸ μῆλον, ὅ ἐστι τὴν νίκην. εἶπε δὲ καὶ ὕμνον εἰς αὐτήν, τὸν λεγόμενον Κεστόν. ταύτην γράφουσι τὴν αἰτίαν γενέσθαι τοῦ πολέμου. συντελεσθέντων τῶν λʹ ἐνιαυτῶν, μεταστειλάμενος τοῦτον ὁ πατὴρ ἔπεμψεν εἰς θυσίας. ὃς ἐλθὼν ἐν Σπάρτῃ καὶ εὑρὼν τὴν Ἑλένην ἥρπασεν αὐτήν.

π 653 Παριππεύει: ἀντὶ τοῦ ἀφίησιν αὐτοὺς καὶ ἄλλῃ ἀπέρχεται ἢ ὁδεύει.

π 654 Παριππεύσαντες: παραδραμόντες.

π 655 Παρίππον καὶ κόρη: τόπος Ἀθήνησιν οὕτω καλούμενος· ἐπειδή τις τοῦ γένους τῶν Κοδριδῶν, Ἱππομάνης τοὔνομα, ὃς καὶ τελευταῖος ἐβασίλευσε, τὴν θυγατέρα καθεῖρξεν ἐν χωρίῳ τινὶ μεθ’ ἵππου μαινομένου, διότι λαθραίῳ μίξει τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο. καὶ ὁ ἵππος τὴν κόρην βίαν ἐποιήσατο· ἀφ’ οὗ Πάριππος καὶ κόρη ὁ τόπος, ἐν ᾧ τὸ πάθος ὑπέστη, καλεῖται.

π 656 Παρίσθμια: τὰ περὶ τὴν φάρυγγα.

π 657 Παρίστασαι: καταδουλοῖς καὶ ὑποχείριον ποιεῖς. ἢ ἀντὶ τοῦ μεθίστασαι. Σοφοκλῆς· ἄγεις θ’, ἃ χρῄζεις, καὶ παρίστασαι βίᾳ, καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ ἔδοξας εἶναι. εἰώθεσαν δὲ οὕτω λέγειν· καὶ ἀντὶ τοῦ ἐφυγάδευσαν ἡμεῖς ἂν εἴποιμεν, μετεστήσαντο· οἱ δὲ παρεστήσαντο.

π 658 Παρίστασθαι· δοτικῇ. Ἀρριανός· ὁ δὲ Ἀλέξανδρος προσέταξε τὰ κατὰ τὴν ὁδὸν χωρία ἢ βίᾳ ἐξαιρεῖν ἢ ὁμολογίᾳ παρίστασθαι. καὶ αὖθις Δαμάσκιός φησιν· οὐ γὰρ προσίετο τὰ χρήματα ῥᾳδίως, οὐδὲ πρόχειρος ἦν καταφρονεῖν χρημάτων δικαίως ὀφειλομένων, ἀλλὰ παρίστατο καὶ ἐξῄτει τοῖς ἀποστεροῦσι μέχρι καὶ δικαστῶν ἀγοραίων.

π 659 Παρίστημι: τὸ λαμβάνω. αἰτιατικῇ· ὧν τὰ μὲν βίᾳ ᾕρει, τὰ δὲ ὁμολογίᾳ παρίσταται.

π 660 Παρίτω: ἐλθέτω.

π 661 Παρθενεῖα: προπερισπωμένως, τὰ εἰς παρθένους ᾀδόμενα μέλη. Ἀριστοφάνης· κύκλιά τε πολλὰ καὶ καλὰ καὶ παρθενεῖα καὶ κατὰ Σιμωνίδου. τουτέστι κακότεχνα καὶ ποικίλα.

π 662 Παρθένειος: ὁ ἐκ παρθένου ἔτι δοκούσης εἶναι γενναῖος. καὶ Παρθένειον λέχος. Παρθένιος δὲ ὁ ἐκ παρθένου γεννηθείς.

π 663 Παρθενία: ὁ καθαρὸς βίος. καὶ Παρθένιον πέλαγος.

π 664 Παρθένιος, Ἡρακλείδου καὶ Εὐδώρας, Ἕρμιππος δὲ Τήθας φησί· Νικαεὺς ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής. οὗτος ἐλήφθη ὑπὸ Κίννα λάφυρον, ὅτε Μιθριδάτην Ῥωμαῖοι κατεπολέμησαν· εἶτα ἠφείθη διὰ τὴν παίδευσιν καὶ ἐβίω μέχρι Τιβερίου τοῦ Καίσαρος. ἔγραψε δὲ ἐλεγείας, Ἀφροδίτην, Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς, Ἀρήτης ἐγκώμιον ἐν τρισὶ βιβλίοις· καὶ ἄλλα πολλά. περὶ μεταμορφώσεως ἔγραψε.

π 665 Παρθένιος, Χῖος, ἐποποιός, υἱὸς Θέστορος· ὃς ἐπεκαλεῖτο Χάος, Ὁμήρου δὲ ἦν ἀπόγονος. ἐποίησεν εἰς Θέστορα τὸν ἑαυτοῦ πατέρα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 666 Παρθένιοι: οἱ γενόμενοι παρθένῳ πρὸ τοῦ γήμασθαι, ὑπὸ δὲ Ἀθηναίων Ἐρεχθέως θυγατέρες· παρὰ δὲ Γοργίᾳ παρθένος ἐπὶ παντὸς ἀμετόχου τέτακται. καλοῦνται δὲ ἐκ μεταλήψεως καὶ ἄφθοροι.

π 667 Παρθενῶνος: τοῦ τῶν παρθένων χοροῦ.

π 668 Παρθένοι: τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτιμώρησαν δὲ τὸν ἀριθμὸν ἕξ. πρεσβυτάτη μὲν Πρωτογένεια, δευτέρα δὲ Πανδώρα, τρίτη Πρόκρις, τετάρτη Κρέουσα, πέμπτη Ὠρείθυια, ἕκτη Χθονία. τούτων λέγεται Πρωτογένεια καὶ Πανδώρα δοῦναι ἑαυτὰς σφαγῆναι ὑπὲρ τῆς χώρας, στρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας. ἐσφαγιάσθησαν δὲ ἐν τῷ Ὑακίνθῳ καλουμένῳ πάγῳ ὑπὲρ τῶν Σφενδονίων. διὸ καὶ οὕτως καλοῦνται παρθένοι Ὑακινθίδες, καθάπερ μαρτυρεῖ Φανόδημος ἐν τῇ πέμπτῃ Ἀτθίδι, μεμνημένος τῆς τιμῆς αὐτῶν, καὶ Φρύνιχος Μονοτρόπῳ.

π 669 Παρθενοπίπας: ὁ τὰς παρθένους ἀπατῶν, ἢ ἐπιτηρῶν.

π 670 Πάρθη. ἐν Ἐπιγράμμασι· ἦν γὰρ ἀγὼν φόρμιγγος, ὁ δ᾽ ἀντίος ἵστατο Πάρθης.

π 671 Πάρθοι: Περσικῇ γλώσσῃ Σκύθαι, οὓς κατῴκισε Σέσωστρις ὁ τῶν Αἰγυπτίων βασιλεύς, ὑποτάξας Ἀσσυρίους.

π 672 Παρθυαῖος: ὁ ἀπὸ τόπου Παφλαγονίας.

π 673 Παρθυηνή: πόλις.

π 674 Πάρμαι: δερμάτινοι θυρεοὶ παρὰ Καλχηδονίοις.

π 675 Παρμενίδης, Πύρητος, Ἐλεάτης, φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεόφραστος Ἀναξιμάνδρου τοῦ Μιλησίου. αὐτοῦ δὲ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε, ὁ καὶ φιλόσοφος καὶ ἰατρός, καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ Φυσιολογίαν δι᾽ ἐπῶν, καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων.

π 676 Παρμενίωνος: ὄνομα κύριον.

π 677 Πάρμη· τῇ δυνάμει τῆς πάρμης καὶ τῶν Λιβυστικῶν θυρεῶν ἀντεῖχον ἐρρωμένως οἱ Ῥωμαῖοι.

π 678 Παρμισσός: ὄνομα πόλεως.

π 679 Παρνάσσιοι: ἀντὶ τοῦ μεγάλοι· Πάρνης γὰρ ὄρος τῆς Ἀττικῆς, χορηγίαν ἔχον πολλῶν ξύλων. ὡς ἀπὸ Παρνασσοῦ τὴν λέξιν παρήγαγε, δηλῶν τοὺς ἱερούς· ὁ γὰρ Παρνασσὸς ὄρος Φωκίδος ἐστίν, ἱερὸν Ἀπόλλωνος καὶ Διονύσου. τιθέασι δὲ καὶ ἐπὶ τοῦ μεγάλου τὸ Παρνασσός· Ἀριστοφάνης Ἀχαρνεῦσιν· ὀλίγου τ᾽ ἀπέθανον ἄνθρακες Παρνάσσιοι.

π 680 Πάρνη: ὄρος Ἀττικῆς, θηλυκῶς.

π 681 Πάρνης, Πάρνηθος: ὄνομα ὄρους. καὶ οὐδετέρως Παρνήθιον ὄρος.

π 682 Παρνησός: πόλις.

π 683 Πάρνοψ: ἀκρίδος εἶδος. οἱ δὲ μελίσσας ἀγρίας. καὶ κλίνεται πάρνοπος. οἱ δὲ κώνωπας. Ἀριστοφάνης· ὁ δ᾽ ἀνακραγὼν ἀντείκασεν αὐτὸν πάρνοπι τὰ θρία τοῦ τρίβωνος ἀποβεβληκότι. καὶ αὖθις· ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται. τὸ πλῆθος σημαίνει τῆς στρατιᾶς.

π 684 Παρό: διό.

π 685 Παροδεία: ἡ παρέλευσις.

π 686 Πάροδος: εἴσοδος. ὁ δὲ δευτεραῖος ἀφίκετο. οὐ μὴν παραυτίκα γε παρόδου ἔτυχεν, ὡς καὶ αὐτῇ τῇ τριβῇ ἐνδείξαιτο Ῥωμαίοις ὁ βάρβαρος, οὐχὶ ἐπιθυμοῦντι τὰ τῆς πρεσβείας γενόμενα ἄν.

π 687 Πάροδος: ἡ ἄφιξις, ἡ εἴσοδος. οἱ δὲ πεμφθέντες παρόδου ἐς τὴν πόλιν οὐκ ἔτυχον ὑστερήσαντες. Πρίσκος φησί.

π 688 Παροκλάζων: γονατίζων.

π 689 Παροκωχή: παροχὴ παρὰ Θουκυδίδῃ, ὡς ἡ ἀνακωχὴ καὶ διακωχή.

π 690 Παρολίγον τῷ βίῳ ἐκινδύνευε· σύνταξις.

π 691 Παρολκή: ὑπέρθεσις.

π 692 Παρομαρτεῖ: παρακολουθεῖ.

π 693 Παρόν: ἐξόν, δυνατόν, δέον. διὸ καὶ παρὸν κωλύειν, ὑποπιμπράντες. καὶ αὖθις· ὁ δὲ ἤσχαλλεν, ἐν συμφορᾷ μεγάλῃ ποιούμενος, εἰ μή τις αὐτὸν ἐῴη, παρὸν οὐδενὶ πόνῳ τὸ κράτος τοῦ πολέμου παντὸς φέρεσθαι.

π 694 Παρ’ ὁντινοῦν: παρὰ πάντα.

π 695 Παροξύνω· αἰτιατικῇ.

π 696 Παροπλίσας· τετρακισχιλίους παροπλίσας γεωργεῖν ἐπέταξε, χώραν ἀποδοὺς αὐτοῖς. ἀντὶ τοῦ τὰ ὅπλα ἀφελόμενος. καὶ αὖθις· τοὺς Ἰσόμβρους πάλιν παροπλίσας ἁλύσει δεδεμένους εἰς Ῥωμανίαν ἀπέστειλεν.

π 697 Παρορᾶσθαι· εἰκότως ἐδόκουν οἱ Καρχηδόνιοι παρορᾶσθαι τὴν τῶν ὅπλων παράδοσιν. ὑποτοπεῖσθαι, ὑφορᾶσθαι.

π 698 Παροργίζω· αἰτιατικῇ.

π 699 Παρόριον: τὸ πλησίον τοῦ ὄρους.

π 700 Παρορκῆσαι· Ἀππιανός· εὐθὺς ἠρέθιζον τοὺς Βρεττανοὺς παρορκῆσαι, ἔγκλημα ἔχοντας, ὅτι σπονδῶν σφίσι γενομένων ἔτι παρῆν τὸ στρατόπεδον.

π 701 Παρορμᾷ: διεγείρει, παροξύνει.

π 702 Πάρος: χρονικῶς καὶ τοπικῶς. ἀντὶ τοῦ ἔμπροσθεν.

π 703 Παρ’ ὅσον: ἀντὶ τοῦ ἐπὶ πολύ. τὰ σημεῖα τοῦ κάλλους ἰδὼν λυμαινόμενα ὠλοφύρετο καὶ κατεστέναζε τὴν μεταβολήν, παρ’ ὅσον γένοιτο.

π 704 Παρ’ οὐδέν: εὔκολον, εἰς οὐδέν.

π 705 Παρ’ οὐδὲν θέμενος τοῦτο: ἀντὶ τοῦ καταφρονήσας, παραλογισάμενος. τὰς σπονδὰς πατήσας καὶ τοὺς ὅρκους παρ’ οὐδὲν θέμενος Ἀλέξανδρος, Πελοπίδαν καθείρξας ἐφρούρει.

π 706 Παρουσία: ἀντὶ τοῦ περιουσία, ἤτοι ἡ αἰτία τοῦ πλούτου οὐσία. Δημοσθένης ἐν τῷ Περὶ συντάξεως φησί. καὶ Κράτης· ἔχοντες εὐπαθῆ βίον παρουσίαν τε χρημάτων.

π 707 Παρουσία: λέγεται οὕτως ἐπὶ τῆς τῶν παρόντων δαψιλείας· ὡς καὶ ἐν τῷ Πλάτωνος Φαίδωνι· ὡς καὶ νῦν ἔχομεν παρουσίας. καὶ πολύ ἐστιν ἐπὶ τούτου παρ’ αὐτοῖς. καὶ ἐπὶ τοῦ παρεῖναι δὲ τάσσεται, ὡς καὶ ἐν τοῖς Νίπτροις Σοφοκλέους· τὴν παρουσίαν τῶν ἐγγὺς ὄντων. Θουκυδίδης ἐν τῷ α′· Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ. τούτῳ γὰρ τὸ ἐναντίον σημαίνει ἡ ἀπουσία.

π 708 Παροχετεύει: παραπλαγιάζει. ἢ ἀπὸ ἑτέρου ὑδρηγοῦ εἰς ἕτερον ἐπιβάλλει ἢ μεταφέρει τὸ ὕδωρ. καὶ Παροχετεύοντες, μεταφέροντες.

π 709 Παροχλίζουσι: μετακινοῦσι.

π 710 Πάροχος: ὁ ἀναβαίνων εἰς τὸ ἅρμα, τὸ ζεῦγος. Πάροχοι λέγονται καὶ οἱ παράνυμφοι παρὰ τὸ παροχεῖσθαι τοῖς νυμφίοις· ἐπ’ ὀχήματος γὰρ τὰς νύμφας ἦγον. Ἀριστοφάνης Ὄρνισιν· ὁ δ’ ἀμφιθαλὴς Ἔρως χρυσόπτερος, ἡνίας εὔθυνε παλιντόνους, Ζηνὸς πάροχος γάμων.

π 711 Παροψίδας: σκεύη ὑπηρετικὰ τραπέζης.

π 712 Παροψίς: ἐμβάφιον, ὀξυβάφιον.

π 713 Παροψωνοῦσι: λάθρα ὀψωνοῦσι. καὶ Πισίδης· εἰ μὴ κακουργεῖς καὶ παροψωνεῖν θέλεις, ἐκ τῶν ἐχόντων τὰς δυσώδεις ἀντλίας.

π 714 Παρῶ: ἀφῶ, συγχωρῶ.

π 715 Παρῳδούμενος: λεγόμενος. καὶ Παρῳδία· οὕτω λέγεται ὅταν ἐκ τραγῳδίας μετενεχθῇ λόγος εἰς κωμῳδίαν· οἷόν ἐστι τό, ἄξιον γὰρ Ἑλλάδι, παρ’ Εὐριπίδῃ καὶ παρ’ Ἀριστοφάνει εἰρημένον. καὶ αὖθις· κατὰ δή τινα προφορὰν ᾀσθέντα καὶ παρῳδηθέντα ἡ περὶ ταῦτα μουσομανία τοῖς ἄστροις ἐπέψαυε. Προκόπιός φησι. καὶ Παρῳδήκει, ἄλλην ᾖσεν ᾠδήν. ἢ Παρῳδήκει, ἀντὶ τοῦ ᾠγκώθη.

π 716 Παρωθοῦντες: ἐκβάλλοντες.

π 717 Παρὼν ἀποδημεῖ: ἐπὶ τῶν αἴσθησιν ἑαυτοῖς μηδεμίαν παρεχόντων. Ἀριστοφάνης· ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ.

π 718 Παρῶναι: εἴδη πλοίων. ὁ δὲ ἔπλει παράπλους ποιησάμενος τοὺς Σιδητῶν παρῶν ς· ἧκον γὰρ Ῥοδίοις εἰς συμμαχίαν.

π 719 Παρώνεια: τόπος.

π 720 Παρῳνήθη· τοῦτο μὲν ἐπὶ τοσοῦτον παρῳνήθη. καὶ Πάροινος, ὁ μέθυσος καὶ ὁ ὑβριστής. ἀντὶ τοῦ μετὰ μέθης ἐλέχθη, μετὰ μανίας.

π 721 Παρῴνησεν: ἀτάκτως ἐξύβρισε. Καμβύσης ὁ Κύρου παρῴνησεν εἰς τοὺς Αἰγυπτίους θεοὺς καὶ ἐξεμάνη καὶ τὸν ἑαυτοῦ μηρὸν ἔτρωσε καὶ σφακελίσαντος ἐνόσησε καὶ πικρότατα τὸν βίον κατέστρεψεν, ὥς φησιν Ἡρόδοτος. καὶ ταῦτα μὲν παρῴνησαν, βαρβάρως ἐνθουσιάσαντες τε ἅμα καὶ λυττήσαντες. ἔτισαν οὖν δίκας οὐ μεμπτάς· ἑάλω γὰρ αὐτοῖς ἡ πόλις. καὶ αὖθις· ὁ δὲ καὶ ἐν ταῖς τοῦ Διὸς θυγατράσι παρῴνησε, τό γε αὑτοῦ.

π 722 Παρώνυμον: ἐκ τοῦ συμβεβηκότος λεγόμενον.

π 723 Παρώπια καὶ Ἀντήλια: τὰ παρὰ τὰς ὄψεις τῶν ἵππων δερμάτια.

π 724 Παρῶπτο: παρεώρατο.

π 725 Παρωρεία.

π 726 Παρώσας: παρεκβαλών.

π 727 Παρώτρυναν: παρώξυναν.

π 728 Παρῴχετο: παρήρχετο.

π 729 Παρῳχήκει: παρῆλθεν.

π 730 Παρπόδα: εὐθύς, παραυτίκα. εἰ δέ σε δίκη παρπόδα μὴ τιμωρὸς ἐτίσατο, δὶς τόσον αὖθις ἔσσεται ἐν πλεόνεσσι παλίντροπος.

π 731 Παρσώνδης: ὄνομα κύριον.

π 732 Παροικία: ἡ παροῦσα ζωή. Δαυίδ. ὅτι πάροικος ἐγὼ καὶ παρεπίδημος.

π 733 Παροιμία: τί ἐστι παροιμία; λόγος ὠφέλιμος. καταχρηστικῶς δὲ πᾶν παροδικὸν διήγημα· οἶμος γὰρ ἡ ὁδός. ἢ Παροιμία ἐστὶ λόγος ἀπόκρυφος, δι’ ἑτέρου προδήλου σημαινόμενος.

π 734 Παροινίας: ὕβρεις.

π 735 Παροινικώτατος· καὶ γὰρ ἦν τῶν ξυνόντων πολὺ παροινικώτατος, καίτοι παρῆν Ἱππόλυτος, Ἀντιφῶν, Λύκων, Λυσίστρατος, Θεόφραστος, οἱ περὶ Φρύνιχον. τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ. παροίνιος. εὐθὺς γάρ, ὡς ἐπέπλητο πολλῶν κἀγαθῶν, ἐνήλατ’, ἐσκίρτα, πεπόρδει, κατεγέλα.

π 736 Παροίνιος: ὁ μέθυσος καὶ ὑβριστής.

π 737

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πάροινος: μέθυσος. Ἀριστοφάνης· οὐδέποτ' ἐγὼ τοῦτον εἰσδέξομαι, οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται, ὅτι πάροινος ἀνὴρ ἔφυ. ἐν ταῖς τῶν πότων συνόδοις ᾖδον μέλος τι, Ἁρμόδιον καλούμενον, οὗ ἡ ἀρχή, φίλτατε Ἁρμόδιε, οὔ τί που τέθνηκας. ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθῃρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ Λάμπωνος. ὁ δὲ νοῦς· οὐδέποτε παρ' ἐμοὶ ἑστιαθήσεται, ὅτι παροίνιος· οἷον μέθυσος καὶ ὑβριστής.

π 738 Παροισθέντι: παρενεχθέντι.

π 739 Παροιστρῶσα: ἐξεστηκυῖα, ἐρεθίζουσα.

π 740 Παροιστρῶσι: παρακαθήσωσι θυμῷ.

π 741 Παροίτεροι: ἀντὶ τοπικοῦ. πρότεροι κατὰ τὸν δρόμον.

π 742 Παρύσατις: εἶδος παροιμίας. καὶ ὄνομα κύριον. ἡ μήτηρ Κύρου.

π 743 Παρυφή: ἡ ἐν ἐσθῆτι ἐργασία.

π 744 Παρυφῶς.

π 745 Πᾶς: περισπᾶται· διότι ἐνομίζετο εἶναι μετοχή, ὡς στάς, βάς. ἵνα οὖν φύγῃ τὴν ὑπόνοιαν, περιεσπάσθη.

π 746 Πᾶσα γῆ πατρίς: παροιμιακόν.

π 747 Πασσαγίην: πανοπλίαν. εἷλε δὲ πασσαγίην, τόδε δ' ἔννεπεν.

π 748 Πάσσαλος. λύσις ὀνείρου· ἥλους κρατῶν τὰ κέντρα τῶν ἐχθρῶν βλέπε.

π 749 Πασάμενοι: γευσάμενοι. καὶ Πάσασθαι, γεύσασθαι. οὐχὶ ἐπὶ τοῦ πληρωθῆναι, ἀλλ' ἐπὶ τοῦ ἀπογεύσασθαι, παρ' Ὁμήρῳ. οἱ δὲ νεώτεροι καὶ ἐπὶ τοῦ πληρωθῆναι. καὶ Ἄπαστος, ὁ ἄγευστος.

π 750 Πᾶσαι δ' ὠΐγνυντο πύλαι: παρ' Ὁμήρῳ· ἀντὶ τοῦ ὅλαι· μία γὰρ ἦν.

π 751 Πάσῃ μηχανῇ: ἀντὶ τοῦ κατὰ παντὸς τρόπου.

π 752 Πάσης: ὄνομα κύριον. καὶ παροιμία· Τὸ Πάσητος ἡμιωβέλιον. ὁ δὲ Πάσης οὗτος μαλακὸς ἦν τὴν φύσιν, πάντων δὲ ἀνθρώπων ἐν μαγείᾳ διενήνοχεν, ὥστε ἐκ τῶν ἐπαοιδίων αὐτοῦ καὶ δεῖπνα πολυτελῆ ὁρᾶσθαι καὶ διακονουμένους τινάς, καὶ πάλιν ἀφανῆ πάντα γίνεσθαι. εἶχε δὲ καὶ ἡμιωβέλιον ἐκ μιᾶς αὐτῷ πεποιημένον, ὃ διαδιδόμενον ὑπ' αὐτοῦ τοῖς πιπράσκουσι, παρ' ὧν ἤθελεν ὠνεῖσθαι, εἰ ἠβούλετο, πάλιν παρ' αὐτῷ ηὑρίσκετο. καὶ Ἀπίων δὲ ὁ γραμματικὸς μνημονεύει αὐτοῦ ἐν τῷ Περὶ μάγου.

π 753 Πάσῃ τέχνῃ: ἐκ παντὸς τρόπου. Ἀριστοφάνης Λυσιστράτῃ· οὐδ' ἢν σχολάσῃς, πάσῃ τέχνῃ πρὸς ἑσπέραν ἐλθών, ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον.

π 754 Πασίας· Ἀριστοφάνης Νεφέλαις· ἀτὰρ τὶ χρέος ἔβα με μετὰ τὸν Πασίαν.

π 755 Πασιθέη: ὄνομα θεᾶς.

π 756 Πασῖνος: ὄνομα κύριον.

π 757 Πασίωνος: ὄνομα τραπεζίτου.

π 758 Πασιφάη: ὄνομα θεᾶς.

π 759 Πασπάλη: ἡ ἀλευρότησις, τὸ λεπτὸν τοῦ ἀλεύρου· πασπάλη δὲ παρὰ πολλοῖς λέγεται.

π 760 Πάσσω: τὸ γεύομαι· γενικῇ.

π 761 Παστείλη: ἡ ἐσχάτη ἡμέρα τοῦ ἐνιαυτοῦ. Παστίλη δὲ τὸ ξύσμα τοῦ δέρματος.

π 762 Παστοφορεῖον: τὸ φέρον τὸν παστόν.

π 763 Πασσυδεί: παντελῶς. ὁ Θουκυδίδης· εἰ μὴ οὕτως τε πασσυδεὶ διεφθάρθαι. ὅπερ ἀγνοήσαντές τινες γράφουσι πασσυδί. ἔστι καὶ ἐν Αὐτομόλοις Φερεκράτου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 764 Πασσυδίῃ: μετὰ πάσης ὁρμῆς, πανστρατιᾷ, ὁμοθυμαδόν.

π 765 Πάσχειν· ὅτι ἡ ἀλλοίωσις καὶ ὅλως τὸ πάσχειν διττόν, τὸ μὲν ἐπὶ φθορὰν ἄγον, τὸ δὲ εἰς τελείωσιν. πάσχει γὰρ καὶ ὁ μαθητὴς ὑπὸ τοῦ διδασκάλου καὶ ἀλλοιοῦται, ἀλλ' οὐκ εἰς φθοράν, ἀλλ' εἰς τελείωσιν ἀγόμενος. τὸ γὰρ ἐν αὐτῷ δυνάμει προάγεται εἰς ἐνέργειαν. οὕτω καὶ ἡ αἴσθησις ἀλλοιοῦται καὶ πάσχει, ὑπὸ τῶν αἰσθητῶν εἰς τελείωσιν ἀγομένη καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν προαγομένη.

π 766 Πάσχα· ζήτει περὶ τῆς τριημέρου ἀναστάσεως τοῦ Χριστοῦ ἐν τῷ αὔτη. καὶ ζήτει περὶ τοῦ αὐτοῦ πάσχα ἐν τῷ Ἰωσίας.

π 767 Πασχητιᾷ: πάσχειν ἐθέλει.

π 768 Πάσχω· αἰτιατικῇ.

π 769 Πατάγημα: ἀντὶ τοῦ λάλος, καὶ πανοῦργος. Μένανδρος· οἷον πατάγημα ἥκεις.

π 770 Πάταγος: ψόφος. Ἀγαθίας· οἰμωγαὶ δὲ ἠκούοντο τῶν ἀγροίκων καὶ μυκήματα βοῶν ἀπελαυνομένων καὶ πάταγος τῆς ὕλης τεμνομένης.

π 771 Πάταγος: ἦχος, κτύπος. οὐ πῦρ οὐ δοράτων οὐ ξιφέων πάταγος. καὶ Αἰλιανός· ἄφνω πάταγος ἀκούεται τῶν θυρῶν.

π 772 Παταγοῦσι: ψοφοῦσιν. ἐπιπαταγοῦντες κώδωνί τινι καὶ τυμπάνῳ ὕπερθε τοῦ φόρτου οἱ βάρβαροι. καὶ αὖθις· ὁ δὲ λανθάνει, τοῦ πνεύματος σφόδρα παταγοῦντος.

π 773 Πατάγου χυτρίου: ἀντὶ τοῦ κεραμέου. ἐκ μέρους τὸ πᾶν. συντρίβεται δὲ τὰ κεράμια παρὰ ταῖς κρήναις. οὐ γὰρ χύτρας βάπτουσιν.

π 774 Πατταλεῦσαι: προσπῆξαι.

π 775 Πάτταλον: τὸ τυχόν. ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον.

π 776 Παττᾳκίων: ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ 〈ὡσ〉 κλέπτης καὶ τοιχωρύχος· ὥστε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις.

π 777 Πατάσσει: πλήττει. ὁ δὲ λαβὼν τὸ ξίφος πατάσσει τοῦ στέρνου.

π 778 Πατασσούσῃ: ὑπὸ δειλίας κλονουμένῃ. Δέξιππος· ἦν δὲ τοῦ καθηγουμένου πρὸς πᾶν τὸ ἀπαγγελλόμενον ἔκπληξις· ὑπὸ γὰρ ἐμφύτου δειλίας καὶ ἀπειρίας τῶν πολεμικῶν ἀναπεπταμένοις μὲν τοῖς ὠσί, τεθορυβημένοις δὲ τοῖς ὀφθαλμοῖς, πατασσούσῃ δὲ τῇ καρδίᾳ, ἀεί τι ἀκούσεσθαι ἐλπίζων, τοῖς ἀρχομένοις κατάδηλος ἦν ὡς φυγῇ χρήσεται.

π 779 Πατάξει· ὅταν δὲ λέγῃ ὁ Προφήτης, πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ· οὐ περὶ γῆς λέγει, ἀλλὰ περὶ τῶν ἁμαρτιῶν. ὡς τό, καὶ ἐγένετο ἡ γῆ πᾶσα χεῖλος ἕν· περὶ ἁμαρτιῶν. καὶ ὁ Ἀβραὰμ ἑαυτὸν ἐξευτελίζων, ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός, λέγει. καὶ πάλιν· ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐντόσθια αὐτοῦ· τὴν γαστέρα λέγων.

π 780 Ππατταικίων· φυλάττει. ὄνομα κλέπτου καὶ τοιχωρύχου.

π 781 Πάταικοι· θεοὶ οἱ Πάταικοι Φοινικικοὶ ἐν ταῖς πρύμναις ἱδρυμένοι. χρυσίαις ἄπεφθα τοῖς Παταίκοις ἐμφερῆ.

π 782 Πατήσας: καταφρονήσας. Ἀρριανός· δεξιάς τε παραβάς, ἃς βασιλεῖ ἔδωκε, καὶ ὅρκους πατήσας οὓς ὤμοσε.

π 783 Πατῆσαι: ἐνδιατρίψαι, ἀφικέσθαι. Ἀριστοφάνης· ἀμαθὴς ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας. ἐπὶ τῶν ἰδιωτῶν.

π 784 Πατῖνος: ὄνομα κύριον.

π 785

Πάτος: ὁδός. πάτον ἀνθρώπων ἀλεείνων. Ὅμηρος.

π 786 Πατούμενοι: ὑβριζόμενοι.

π 787 Πατραλοίας: πατροτύπτης. καὶ Πατρολῴας, ὁ αὐτός.

π 788 Πατρεύς: ὁ ἀπὸ Πατρῶν. ἡ δοτικὴ Πατρεῖ· ὡς Μυρεύς, ὁ τῶν Μύρων, καὶ ἡ δοτικὴ τῷ Μυρεῖ.

π 789 Πάτρης: ἡ ἐκ τοῦ πατρὸς γέννησις. Πατρὶς δὲ ἡ φυλή.

π 790 Πατριάρχης· καὶ Πατριαρχεῖον.

π 791 Πατριαί: χῶραι, φυλαί, τοπαρχίαι.

π 792 Πατρίκιος· οὗτος ἤκμασεν ἐπὶ Ἰοβιανοῦ βασιλέως. ἦν δὲ ἐκ Λυδίας· ὅστις τῆς ἀπὸ τῶν φαινομένων ἢ καὶ παρατρεχόντων σημείων τεκμάρσεως ἀκριβὴς ἦν ἐξεταστής.

π 793 Πατρίκιος: πατὴρ τοῦ κοινοῦ. ὁ δὲ πέμπει πρεσβευτὰς τοὺς ἐν τῇ κορυφαίῳ τῆς συγκλήτου βουλῆς τελοῦντας ἄξια. πατρίκιοι δ’ ἄρα ὄντες ἐτύγχανον. ὁ βασιλεὺς Θεοδόσιος ὁ μικρὸς ὀργῇ τῇ πρὸς Ἀντίοχον τὸν πραιπόσιτον, διαβληθέντα εἰς καθοσίωσιν ἐξεφώνησε διάταξιν, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν. διὸ καὶ καθηρέθη ὁ πραιπόσιτος τῆς τιμῆς καὶ ἐδημοσιεύθη καὶ τοῖς ἱερεῦσι κατετάγη.

π 794 Πάτριος θεός.

π 795 Πατροκλῆς: ὄνομα κύριον. καὶ παροιμία· ἐκ Πατροκλέους. ἐπὶ τῶν ῥυπώντων καὶ αὐχμηρῶν· Πατροκλῆς γὰρ ἐγένετο Ἀθηναῖος, πλούσιος σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος καὶ σκνιπός· ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι, φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. ὁ Πλοῦτος οὖν ἐρωτώμενος, πόθεν βαδίζεις; ἐκ Πατροκλέους, ἔφη.

π 796 Πάτροκλος: ὄνομα κύριον. καὶ ἡ κλητικὴ ὦ Πατρόκλεις καὶ ὦ Πάτροκλε.

π 797 Πατρονομούμενοι: οἱ τοὺς ἀπὸ τῶν πατέρων παραδεδομένους νόμους τηροῦντες.

π 798 Πατροραίστης: ὁ τὸν πατέρα τύπτων.

π 799 Πατρούχου παρθένου: τῆς ὀρφανῆς καὶ ἐπικλήρου, ᾗ προσήκει τὰ τοῦ πατρὸς ἔχειν.

π 800 Πατρῷα: τὰ πατρικά.

π 801 Πατρῴζοντα: τὰ τοῦ πατρὸς φρονοῦντα.

π 802 Πατρωικὸν δίκαιον: τὸ ἐκ προστάτου δίκαιον.

π 803 Πατρῴων· πατρῷα λέγουσιν οἱ ῥήτορες, ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων ἢ τόπων. Ἰσαῖος· ἀποφαίνω γὰρ ὑμῖν, ὡς οὐκ ἔστι τῆς ἐπικλήρου τὸ χωρίον τοῦτο, οὐδ’ ἐγένετο πώποτε, ἀλλ’ ὡς ἦν πατρῷον Λυσιμένει τῷ πατρὶ Μενεκράτους· ὁ δὲ Λυσιμένης ἔσχε τὰ πατρῷα πάντα. πάτρια δὲ λέγουσι τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς. Ἀντιφῶν· τοῦτο δὲ τοὺς νόμους εἰδὼς πατρίους καὶ παλαιοὺς ὄντας ὑμῖν. πατρικὸν δέ, ὅταν περὶ προσώπου ποιῶνται τὸν λόγον. καὶ τούτων ἀξιωθείς, διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

π 804 Πάτρως, πάτρω: Ἀττικῶς.

π 805 Παῦε, παῦ’, ὦ δέσποθ’ Ἑρμῆ: νεκρὸν γὰρ ὄντα τὸν Κλέωνα ἐλοιδόρει. ἔθος δὲ ἦν τοῖς ἀρχαίοις τοὺς ἀποιχομένους μὴ λοιδορεῖν.

π 806 Παῦλα: ἀνάπαυσις. κατὰ τὸ δὴ λεγόμενον, παῦσις κακοῦ μεῖζον κακόν. διόπερ ἐν κακῶν αἱρέσει τοὐλάχιστον δεῖ ἑλέσθαι.

π 807 Παύλη.

π 808 Παῦλος, Αἰγινήτης, ἰατρός. ἔγραψεν ἰατρικὰ βιβλία διάφορα.

π 809

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παῦλος, Τύριος, ῥήτωρ, γεγονὼς κατὰ Φίλωνα τὸν Βύβλιον· ὃς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως πρεσβεύσας μητρόπολιν τὴν Τύρον ἐποίησεν. ἔγραψε Τέχνην ῥητορικήν, Προγυμνάσματα, μελέτας.

π 810 Παῦλος, φιλόσοφος. εἰσαγωγὴν ἀστρολογίας, καὶ Ἀποτελεσματικά.

π 811 Παῦλος, Γερμηνός, σοφιστής· ὁ γράψας, ὅτι γε Λυσίου ἐστὶν ὁ περὶ τῆς Ἰφικράτους δωρεᾶς βιβλία β′, ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους Λυσίου.

π 812 Παῦλος, Αἰγύπτιος ἐκ τῆς Λύκων, σοφιστής, υἱὸς Βησαρίωνος τοῦ καὶ Διδύμου, γεγονὼς ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου.

π 813 Παῦλος· οὗτος ἐγένετο σύγχρονος Μάνεντι, τὸ γένος Σαμοσατεύς, Ἀντιοχείας τῆς μεγάλης πρόεδρος· ὃς ψιλὸν ἄνθρωπον εἶναι τὸν κύριον ἐβλασφήμησεν, ὥσπερ δὲ εἰς ἕκαστον τῶν προφητῶν, οὕτω καὶ ἐν αὐτῷ γεγενῆσθαι τοῦ θεοῦ λόγου τὴν οἴκησιν. ἔνθεν καὶ δύο φύσεις διῃρημένως ἐχούσας καὶ ἀκοινωνήτους πρὸς ἑαυτὰς εἶναι παντάπασιν ἐν Χριστῷ, ὡς ἄλλου ὄντος αὐτοῦ τοῦ Χριστοῦ καὶ ἄλλου τοῦ ἐν αὐτῷ κατοικοῦντος θεοῦ λόγου. αὗται μὲν αἱ πρῶται φυαὶ τοῦ μίαν φύσιν καὶ τὰς δύο κακῶς καὶ δυσφήμως ἐπὶ Χριστοῦ λέγεσθαι, τὸ μὲν ἐπ’ ἀναιρέσει τῆς θεότητος, τὸ δὲ τῆς ἀνθρωπότητος. ὅθεν καὶ Παυλικιανοί.

π 814 Παῦλος· οὗτος μετὰ Χρύσανθον τῆς Ναυατιανῶν ἐκκλησίας προεστηκὼς πρότερον μὲν λόγων Ῥωμαϊκῶν διδάσκαλος ἦν, τὸν δὲ γραμματικὸν πόνον καταλιπὼν ἐπὶ τὸν ἀσκητικὸν ἐτράπη βίον καὶ συστησάμενος ἀνδρῶν σπουδαίων μοναστήρια οὐκ ἀλλοιότερον τῶν ἐν τῇ ἐρήμῳ μοναχῶν διετέλει. τοιοῦτος γὰρ γέγονεν, οἵους ὁ Εὐάγριός φησι τοὺς ἐν τῇ ἐρήμῳ διατρίβειν μοναχούς· πάντα γὰρ ἐκείνους μιμούμενος διετέλει, τὴν συνεχῆ νηστείαν, τὸ ὀλίγα φθέγγεσθαι, τὴν ἀποχὴν τῶν ἐμψύχων· τὰ πολλὰ δὲ καὶ οἴνου καὶ ἐλαίου ἀπείχετο. ἀλλὰ μὴν καὶ περὶ τοὺς πτωχοὺς σπουδαῖος εἰ καί τις ἄλλος ἐγένετο· τοὺς ἐν φυλακαῖς ἀόκνως ἐπεσκέπτετο. ἐπὶ τούτου Ἰουδαῖός τις χριστιανίζειν ὑποκρινόμενος ἐφωράθη.

π 815 Παῦπερ· οὕτως ἐκαλεῖτο Κωνστάντιος, ὁ πατὴρ Κωνσταντίνου τοῦ μεγάλου, διὰ τὸ λιτῶς διαιτᾶσθαι, ὡς μηδὲ κοῖλον ἄργυρον κεκτῆσθαι εἰς πλῆθος, μηδ’ ἕτερόν τι πρὸς τρυφὴν βλέπον· ἀλλὰ παρὰ τὰς ἱερὰς καὶ δημοτελεῖς εὐφροσύνας τῷ τῶν ἰδιωτῶν ἀργύρῳ καὶ στρωμναῖς ἐκόσμει τὰ βασίλεια.

π 816 Παῦρα: ὀλίγα, βραχέα. Ὅμηρος· παῦρα μέν, ἀλλὰ μάλα λιγέως· ἐπεὶ οὐ πολύμυθος. καὶ αὖθις Ἀριστοφάνης· παῦρ’ ἀνιάσας, πόλλ’ εὐφράνας. ἀντὶ τοῦ ὀλίγα κωμῳδήσας. ὁμοίως τῷ, ἢ ὀλίγον οἱ παῖδα ἐοικότα.

π 817 Παυρόλας: ὄνομα κύριον. οὗτος υἱὸς Φαλάριδος, τοῦ τυράννου Ἀκραγαντίνων, ἐξ Ἐρυθείας τῆς αὐτοῦ γυναικός.

π 818 Παυσανίας, Λάκων, ἱστορικός. Περὶ Ἑλλησπόντου, Λακωνικά, Χρονικά, Περὶ Ἀμφικτυόνων, Περὶ τῶν ἐν Λάκωσιν ἑορτῶν.

π 819 Παυσανίας, Καισαρεύς, σοφιστής, σύγχρονος Ἀριστείδου· οὗ μέμνηται ὡς φαύλου ῥήτορος Φιλόστρατος ἐν τοῖς Βίοις τῶν σοφιστῶν. ἔγραψε Περὶ συντάξεως βιβλίον α′, Προβλημάτων βιβλίον α′· καὶ ἕτερα.

π 820 Παυσανίας, Κλεομβρότου καὶ Ἀγχιθέας, βασιλεὺς Λακεδαιμονίων· ὃς μετὰ Πλαταιὰς τρίποδα ἀναθεὶς τῷ Ἀπόλλωνι ἐπέγραψεν, Ἑλλήνων ἀρχηγός, ἐπεὶ στρατὸν ὤλεσε Μήδων, Παυσανίας Φοίβῳ μνῆμ’ ἀνέθηκε τόδε. Μηδίζειν δὲ ἀρξάμενος ὑπὸ Αἰγυπτίων καὶ Φοινίκων ἐν τῷ Βυζαντίῳ ἐδορυφορεῖτο καὶ ἐσθῆτι καὶ τραπέζῃ ἐχρῆτο Μηδικῇ· ἐμνᾶτο δὲ τὴν Ξέρξου θυγατέρα ἐπὶ τῇ Ἑλλάδι. κληθεὶς δ’ εἰς κρίσιν καὶ ἁλοὺς καταφεύγει ἐς τέμενος Ἀθηνᾶς. ἡ δὲ μήτηρ πλίνθον ἔθηκε πρώτη κατὰ τῆς εἰσόδου, εἶτα οἱ ἄλλοι· καὶ οὕτως ἔνδον ἀπέθανε, τὸ δὲ

σῶμα εἰς τὸν Κεάδαν (βάραθρον δέ ἐστι τοῦτο) ἔρριψαν, καὶ τὸ ἐπίγραμμα ἐξεκόλαψαν ἐκ τοῦ τρίποδος καὶ τὰς πόλεις ἐπέγραψαν. οἱ δὲ Ἕλληνες καὶ δι' αὐτὸν πρὸς Ἀθηναίους ἀπέστησαν. νοσησάσης δὲ τῆς πόλεως, εἰκόνα ἔστησαν χαλκῆν Παυσανίου καὶ ἐσώθησαν.

π 821 Παυσικάπη: μηχάνημα τροχοῖς ἐμφερές, δι' οὗ τὸν τράχηλον διεῖρον καὶ τῶν ὑποζυγίων, ὥστε μὴ ἐσθίειν, καὶ τῶν ἀνθρώπων, ὡς μὴ δύνασθαι τὰς χεῖρας τῷ στόματι προσάγειν. ὅτι παῦσις ἐστὶ κληρονομία, λῆξις δὲ μερίς, ἡ δὲ ἀποκλήρωσις μέρος εἰς ἀμείνονα λῆξιν. ἀποκληρῶσαι θεοποιῷ φροντίδι οὐδὲν ὤκνησε.

π 822 Παυσωλή: κατάπαυσις.

π 823 Παύσων καὶ Ἶρος: ὀνόματα κύρια πενήτων. ὁ Ἀσκληπιὸς Παύσωνα καὶ Ἶρον κἂν ἄλλον τινὰ τῶν ἀπόρων ἰάσαιτο· ὀφθαλμὼ γάρ τις ἐνόσει· εἶτα ἐπιστὰς ὅδε λέγει· ὄξει λύσαντα κάπρου πιμελήν, κᾆτα ὑπαλείψασθαι. ὁ δὲ κοινοῦται τῷ συνήθει ἰατρῷ. ὁ δὲ ἐπειρᾶτο τὰς αἰτίας λέγειν· τὸ μὲν γὰρ ὑπορρεῖν τὸ οἴδημα τῇ δριμύτητι, τὸ δὲ ἐπιλιπαίνειν καὶ ἡσυχῇ ὑποτρέφειν, ὁ εἴρων ἔλεγε.

π 824 Παύσωνος πτωχότερος: οὗτος ζωγράφος ἦν καὶ ἐπὶ πενίᾳ διετεθρύλητο.

π 825 Παφία: ἡ Ἀφροδίτη.

π 826 Παφλαγών: ὁ Κλέων, ὁ τῶν Ἀθηναίων στρατηγός. διὰ τὸ τῆς φωνῆς ἀπηχές. ἀπὸ τοῦ παφλάζειν· ξένος γὰρ ἦν καὶ βάρβαρος.

π 827 Παφλάζοντα: ἠχοῦντα, ἀναζέοντα. ἀνὴρ παφλάζει, βράζει, τετάρακται. πεποίηται δὲ παρὰ τὸ παφλάζειν. Παφλάζειν δέ ἐστι τὸ λαλοῦντά τινα κρατεῖσθαι καὶ ἀνακόπτεσθαι· τοιοῦτος δὲ ἦν καὶ ὁ Κλέων· ἢ τὸ ταράσσεσθαι· παφλάζειν γὰρ κυρίως σημαίνει τὸ ἠχεῖν τὴν κυμαινομένην θάλατταν.

π 828 Παφνούτιος, μιᾶς πόλεως τῶν ἄνω Θηβῶν ἐπίσκοπος, ἀνὴρ θεοφιλὴς καὶ σημειοφόρος· ὃς ἐν τῷ καιρῷ τοῦ διωγμοῦ τὸν ὀφθαλμὸν ἐξεκόπη. τοῦτον ὁ βασιλεὺς μετεπέμπετο καὶ αὐτοῦ τὸν ὀφθαλμὸν κατεφίλει. ἐδόκει δὲ κατὰ σύνοδον τοῖς ἐπισκόποις νόμον νεαρὸν ἐς τὴν ἐκκλησίαν ἐσφέρειν, ὥστε τοὺς ἱερωμένους, λέγω δὴ ἐπισκόπους, πρεσβυτέρους, διακόνους, ὑποδιακόνους, μὴ συγκαθεύδειν ταῖς γαμεταῖς, ἃς ἔτι λαϊκοὶ ὄντες ἠγάγοντο. καὶ ἐπεὶ περὶ τούτου βουλεύεσθαι προὔκειτο, διαναστὰς ἐν μέσῳ τοῦ συλλόγου τῶν ἐπισκόπων ὁ Παφνούτιος ἐβόα μακρά, μὴ βαρὺν ζυγὸν ἐπιτιθέναι τοῖς ἱερωμένοις ἀνδράσι, τίμιον εἶναι τὸν γάμον λέγων, μὴ τῇ ὑπερβολῇ τῆς ἀκριβείας μᾶλλον τὴν ἐκκλησίαν προσβλάψωσιν. οὐ γὰρ πάντας δύνασθαι φέρειν τῆς ἀπαθείας ἄσκησιν, οὐδὲ ἴσως φυλαχθήσεσθαι τὴν σωφροσύνην τῆς ἑκάστου γαμετῆς· καὶ σωφροσύνην ἐκάλει τῆς νομίμου γυναικὸς τὴν συνέλευσιν· ἀρκεῖσθαί τε τὸν φθάσαντα κλήρου τυχεῖν μηκέτι ἐπὶ γάμον ἔρχεσθαι, κατὰ τὴν τῆς ἐκκλησίας ἀρχαίαν παράδοσιν· μὴ μὴν ἀποζεύγνυσθαι ταύτης, ἣν ἅπαξ ἤδη πρότερον λαϊκὸς ὢν ἠγάγετο. καὶ ταῦτ' ἔλεγεν, ἄπειρος ὢν γάμου καὶ ἁπλῶς εἰπεῖν γυναικός· ἐκ παιδὸς γὰρ ἐν ἀσκηταῖς ἀνετέθραπτο καὶ ἐπὶ σωφροσύνῃ εἰ καί τις ἄλλος περιβόητος ἦν. καὶ πείθεται σύμπας ὁ τῶν ἱερωμένων σύλλογος τοῖς Παφνουτίου λόγοις, καὶ τὴν περὶ τούτου ζήτησιν ἀπεσίγησαν, τῇ γνώμῃ τῶν βουλομένων ἀπέχεσθαι τῆς ὁμιλίας τῶν γυναικῶν καταλείψαντες.

π 829 Παχεῖα.

π 830 Παχεῖς: Ἀττικοὶ τοὺς πλουσίους καλοῦσι συνήθως. Ἀριστοφάνης· ὡς ἀμαθὴς εἶ καὶ παχύς. ἀντὶ τοῦ ἀναίσθητος καὶ παχὺς εἰς τὸ νοεῖν. καὶ Ἡρόδοτος· ἔφυγον ἄνδρες τῶν παχέων ὑπὸ τοῦ δήμου ἐκ Νάξου. διαφέρει πάχης καὶ παχύς. πάχης μὲν λέγεται ὁ λιπαρός, παχὺς δὲ ὁ ἀναίσθητος ἢ ὁ πλούσιος. καὶ παχὺς καὶ ἀρχαῖος ἐπὶ τοῦ ἠλιθίου τάσσεται παρὰ τοῖς παλαιοῖς. ὅτι τὰ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται. ὄναιτο οὖν, φησὶν ὁ Στρεψιάδης, ἀποκαθαρθεὶς τὴν παχύτητα. ἁλσὶ διαβρεχόμενος· διαβάλλει τοῦτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστοφάνης ὡς ἐπὶ ἀσκοῦ τὸν λόγον ποιούμενος. καὶ ζήτει ἐν τῷ ἁλσὶ διασμηχθείς. λύσις ὀνείρου· βρίθων τὸ σῶμα δυσκλεὴς ἔσῃ λίαν.

π 831 Πάχνη· ἐπειδὰν ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία ὑφ᾽ ἡλίου μὴ κατεργασθῇ, καταψυχθῇ δέ, πάχνη καλεῖται.

π 832 Παχνοῦται: πήσσεται, πήγνυται, λυπεῖται.

π 833 Παχύνοοι: παχύνοες, ἀνόητοι. τοσαύτην δὲ ἡμεῖς παχύτητα καὶ ἀμαθίαν κατεγνώκαμεν, ὥστε ἐτολμήσαμεν ἐξελέγχειν αὐτοὺς τοσοῦτον ἠγνοηκότας, ὅσον οὐδεὶς ἠγνόησεν.

π 834 Παχύτερον: ἀμβλύτερον, οὐκ ἀκριβές.

π 835 Παῖ· Ἀριστοφάνης· τί δ᾽ ἐστίν, ὦ παῖ; παῖδα γάρ, κἂν ᾖ γέρων, καλεῖν δίκαιον, ὅστις ἂν πληγὰς λάβῃ.

π 836 Παιάν: εἶδος ᾠδῆς. ὁ δ᾽ εἶπε κλαύσας φρῦνος, οὐχὶ παιᾶνος τοῦτ᾽ ἐστὶν ἡμῖν, φροντίδος δὲ λύπης.

π 837 Παιᾶνας: ὕμνους. ὁ δὲ ᾖδε τοὺς παιᾶνας, οὐκ εὐτραπέλῳ τῇ γλώττῃ, οὐδὲ ἐρρωμένῃ, ὥσπερ οὖν κάτοινος ἤδη καὶ οὐκ ἀρτίστομος ἔτι.

π 838 Παιᾶνας: κώμους, εὐφημίας. Παιᾶνες δύο ἦσαν· Ἐνυάλιος, ὅτε ἦρχον· ὃς καὶ πρὸ τῆς μάχης ἐγίνετο· καὶ ἕτερος, ὅτε ἐνίκων. ὅτι δύο παιᾶνας ᾖδον οἱ παλαιοί, πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι. τὸ δὲ ὡς ἐπίπλουν λέγει Θουκυδίδης, ἀντὶ τοῦ ὡς πρὸς τὸ ἄρξαι τὸν πόλεμον.

π 839 Παιανιεῖς καὶ Παιονίδαι: δῆμοι διττοί εἰσι Παιανίων τῆς Πανδιονίδος φυλῆς, ὡς Διόδωρος καλεῖσθαί φησι Παιανιαίαν καθύπερθεν καὶ Παιανίαι ὑπένερθεν. τὸν δὲ δημότην ἑκατέρου δήμου καλεῖσθαι ὁμοίως Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιανίδων. δῆμος δέ ἐστι καὶ οὗτος τῆς Λεοντίδος.

π 840 Παιανίας: ὄνομα κύριον.

π 841 Παιανίσαι: τὸν Παιᾶνα ἐπικαλεῖσθαι. ἦν δὲ ἔθος καὶ ἐπὶ ἔργου ἀρχομένους καὶ ἐπὶ τῇ νίκῃ τοῦτο λέγειν.

π 842 Παιανισμός: ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν.

π 843 Παιγνία: ἑορτή. ὥστε τἠκάτῃ ποιοῦσα παιγνίαν ἐγὼ τοῖσι παισὶ τὴν ἑταίραν ἐκάλες᾽ ἐκ τῶν γειτόνων. καὶ Ξενοφῶν· οἱ δὲ ναρθηκοφόροι ἐδίωκον σὺν πολλῷ γέλωτι καὶ παιγνίᾳ.

π 844 Παιγνιημονέστατος: τοῖς παιγνίοις ἐπιστήμων.

π 845 Παίγνιον.

π 846 Παιδαγωγηθεῖσαν πόλιν: ἀντὶ τοῦ εἰσαχθεῖσαν. καὶ Παιδαγωγῶ· αἰτιατικῇ.

π 847 Παιδάριον: οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ παρθένων. Ὑπερίδης ἐν τῷ πρὸς Τίμανδρον· καταλλαχθέντων γὰρ τούτων δυοῖν ἀδελφοῖν καὶ δυαῖν ἀδελφαῖν ὀρφαναῖν καὶ πρὸς πατρὸς καὶ μητρὸς καὶ παιδαρίων παίδων.

π 848 Παιδάριτος: τῶν ἐκ Λακεδαίμονος ἐκπεμφθέντων ἐστὶν οὗτος ἁρμοστής, ἀνὴρ εἷς τῶν γεγονότων καλῶν. λύσις ὀνείρου· παῖδας κρατῶν κίνδυνον ἐλθεῖν προσδόκα.

π 849 Παιδερασταὶ σφοδροὶ ὅ τε Κηδωνίδης καὶ ὁ Αὐτοκλείδης.

π 850 Παῖδες: οὐ μόνον οἱ δοῦλοι, ἀλλὰ καὶ οἱ νέοι. Δαβίδ· αἰνεῖτε παῖδες κύριον. ἀντὶ τοῦ οἱ δοῦλοι.

π 851 Παιδεύειν: παιδοτροφεῖν.

π 852 Παιδεύομαι· δοτικῇ.

π 853

Παιδεία: ἡ παίδευσις. παιδείαν ὀρθὴν εἶναι νομίζομεν οὐ τὴν ἐν τοῖς ῥήμασι καὶ τῇ γλώττῃ πολιτευομένην εὐρυθμίαν, ἀλλὰ διάθεσιν ὑγιᾶ νοῦν ἐχούσης διανοίας καὶ ἀληθεῖς δόξας ὑπέρ τε ἀγαθῶν καὶ κακῶν, ἐσθλῶν τε καὶ αἰσχρῶν. ὅστις οὖν ἕτερα μὲν φρονεῖ, διδάσκει δὲ ἕτερα τοὺς πλησιάζοντας, αὐτὸς ἀπολελεῖφθαι τοσούτῳ δοκεῖ τῆς παιδείας, ὅσῳ καὶ τοῦ χρηστὸς ἀνὴρ εἶναι.

π 854 Παίδειος: μετουσιαστικόν. ὁ τῆς παιδείας. σύμβολον ἀγωγῆς παιδείου, πολιῷ γυῖα δεθεὶς καμάτῳ.

π 855 Παιδιά: παίγνιον. ἐδόκει δὲ τὸν βασιλέα καὶ τὸν εὐνοῦχον κατὰ πάρεργον παιδιάν τινα θησόμενος ὁ Τιμάσιος.

π 856 Παιδιά· παιδιά τίς ἐστι τοιαύτη παρὰ Ἀθηναίοις· δραξάμενός τις καρύων καὶ ἐκτείνας τὴν χεῖρα ἐρωτᾷ, πόσα ἔχω; καὶ ἐὰν ἐπιτύχῃ, λαμβάνει ὅσα ἔχει ἐν τῇ χειρί· ἐὰν δὲ ἁμάρτῃ κατὰ τὴν ἀπόκρισιν, ἀποτίνει ὅσα ἂν ὁ ἐρωτήσας εὑρεθείη ἔχων ἐν τῇ χειρί.

π 857 Παιδία: οὕτως Ἀττικοὶ βραχυκαταλήκτως καὶ παροξυτόνως, ἐπὶ τοῦ παιγνίου. Ἀριστοφάνης Πλούτῳ· αὐτοῦ λαβοῦσα κάρυα. παιδιὰν τίνα; Εὐνάπιος· καὶ οἱ μὲν παιδιάν τινα ἐκ τῶν πολεμίων ἡγούμενοι τοσοῦτον ἐδυσχέραινον, ὅσον ἠναγκάζοντο βοᾶν, καθ’ οὓς ἐμβάλοιεν. Παιδεία δὲ ἡ παίδευσις διὰ διφθόγγου.

π 858 Παιδικά: ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις. παραδείγματα τοῦ ἐπὶ μὲν τῶν ἀρρένων τάττεσθαι πολλά, καὶ ἐν τοῖς Ἀχιλλέως δὲ ἐρασταῖς δῆλον ὡς οὕτως ἐξείληπται. ἐπιδόντων γάρ τι τῶν Σατύρων εἰς τὴν γυναικείαν ἐπιθυμίαν, φησὶν ὁ Φοῖνιξ· παπαί, τὰ παιδίχ’, ὡς ὁρᾷς, ἀπώλεσας. καὶ Κρατῖνος Πανόπταις· μισεῖς γὰρ τὰς γυναῖκας, πρὸς παιδικὰ δὲ τρέπῃ νῦν. ὅτι δὲ ἐκάλουν οὕτω καὶ τὰ πρὸς τὰς γυναῖκας, Εὔπολις· φησὶ γὰρ ὡς πρὸς αὐλητρίδα τις· ἐγὼ δὲ χαίρω πρὸς τοῖς σοῖς παιδικοῖς. καὶ Κρατῖνος δὲ Ὥραις, τῆς παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης, φησὶν ἐπ’ αὐτοῦ· μακάριος τῶν παιδικῶν. οὐχὶ δὲ μόνον οἱ ἐρώμενοι καλοῦνται τῷ ὀνόματι, ἀλλὰ καὶ πάντες οἱ σπουδαζόμενοι πάνυ, κατὰ μεταφορὰν τὴν ἀπ’ ἐκείνων. Πλάτων Φαίδρῳ· ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην· ἐρεσχελήσω σε. λέγεται δὲ παιδικὸν καὶ τὸ παιδαριῶδες, οἷον τὸ ἁρμόζον παιδί. ἡ δὲ λέξις ὡς ἐπιτοπολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. ὅτι τὸν Ἀντίνοόν φασι παιδικὰ Ἀδριανοῦ γενέσθαι, καὶ τούτου προτελευτήσαντος, πανταχοῦ ἀνδριάσι προστάξαι τιμηθῆναι, καὶ τέλος ἀστέρα τινὰ δοκεῖν ἐν τῷ οὐρανῷ, ὃν Ἀντίνουν ἔλεγεν εἶναι· καὶ ἐλέγετο εἰς τὸν οὐρανὸν ἀφορᾶν Ἀδριανός.

π 859 Παιδικά: ὀξυτόνως. ἔστι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δέ τινες ἐπ’ ἀγαθοῦ ἔρωτος, τινὲς δὲ ἐπ’ αἰσχροῦ λαμβάνουσι· τὸ δὲ παιδικὰ ἀντὶ τοῦ ἐρώμενος.

π 860 Παιδικῶν· τελευτῶν ἀπεσφάγη καὶ αὐτὸς καὶ ἔκειτο πλησίον τῶν παιδικῶν, θέαμα ἔνδοξόν τε καὶ ὑπερήφανον. Αἰλιανός φησι.

π 861 Παιδικώτερον: ἱλαρώτερον.

π 862 Παιδίσκη: ἡ θεράπαινα.

π 863 Παιδνός: παῖς, νέος.

π 864 Παιδοκομοῦντα: παῖδα τρέφοντα.

π 865 Παιδομαθῆ: ἐκ παιδὸς ἠσκημένον. ὄντα νέον μέν, ὁρμῆς δὲ πλήρη καὶ παιδομαθῆ περὶ τὰ πολεμικά.

π 866 Παιδοπολίτης· Ὀρτιάγοντος ἐγεγόνει Παιδοπολίτης, προβαίνων δὲ κατὰ τὴν ἡλικίαν δικαστὴς ἀπεδείχθη.

π 867 Παιδοτρίβας: ἀλείπτας, γυμναστάς. καὶ Παιδοτρίβης ἡ εὐθεῖα.

π 868 Παιδουργία: παιδοποιΐα.

π 869 Παίδουσα ἢ Παιδοῦσσα: ἐγκύμων.

π 870 Παιδολετῆρα: παιδοφόνον.

π 871 Παιδοφθορία· ζήτει ἐν τῷ Γάϊος Λαυτώριος θαυμάσιον.

π 872 Παῖε τὴν ἐπ' ἀρότρου· ζήτει ἐν τῷ Γλαῦκος τὴν ἱστορίαν.

π 873 Παίει· αἰτιατικῇ. τύπτει. Ἀριστοφάνης· παῖε, παῖε τὸν ἀλιτήριον καὶ πανοῦργον καὶ ταραξιππόστρατον καὶ τελώνην καὶ φάρυγγα καὶ Χάρυβδιν.

π 874 Παίειν: οὕτω λέγουσι τὸ πᾶν ὁτιοῦν συντόνως ποιεῖν. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ὁ δὲ νεανίας ἐς τάχος παίει στρογγύλοις τοῖς ῥήμασι.

π 875 Παίζω· αἰτιατικῇ.

π 876 Παιήονος: ἰατροῦ τῶν θεῶν.

π 877 Παιόλη· ὦ παιόλη. θεόν τινα πεποίηκεν. οἷον ἐκτροπὴν ἤ τινα τοιαύτην. ὡς ἂν εἴποι τις, ὦ ἀδικία καὶ ἀποστέρησις. πέπλακε τὸ ὄνομα δαίμονός τινος, σωματοποιήσας αὐτήν, παρὰ τὸ ἀπαιολεῖν, καὶ κινεῖν καὶ ἀποστερεῖν.

π 878 Παιόλημα: κίνημα, ἀποπλάνημα, καὶ ἀπάτην τινά, πανούργημα. Ἀριστοφάνης Νεφέλαις· ἐξευρετέος γὰρ νοῦς ἀποστερητικός, καὶ παιόλημα.

π 879 Παίονες: ἔθνος. καὶ Παιονία, χώρα.

π 880 Παίω: τὸ τύπτω.

π 881 Παιῶνας: ἰατρούς. καὶ ἀλαλαγμούς. καὶ παιωνίζειν, τὸ ἀλαλάζειν.

π 882 Παιώνειον: ῥίζης φάρμακον.

π 883 Παιώνιον: ἰατρεῖον, θεραπευτήριον. ἢ σωτήριον φάρμακον. καί, Παιωνίοις τισὶ φαρμάκοις, σωτηρίοις, ἰατρικοῖς, θεραπευτικοῖς. καὶ αὖθις· πύστιν κατ' ἐσθλὴν ὕδατος παιωνίου ἦλθέν ποθ' ἑρπύζουσα.

π 884 Παιωνίσας: εὐξάμενος καὶ τοῖς θεοῖς χάριν ὁμολογήσας. παιὼν γὰρ ὕμνος εὐχαριστήριος.

π 885 Παιῶνος: τοῦ ὕμνου. Παίωνος δὲ τοῦ ἰατροῦ.

π 886 Παιπάλη: ἄλευρον ἀπὸ κριθῶν ἢ ἀπὸ κέγχρου. Ἀριστοφάνης Νεφέλαις· γενήσῃ κρόταλον, παιπάλη. ἀντὶ τοῦ τραχύς, δυσκατάληπτος· ἐπεὶ παίπαλα καλοῦμεν τὰ τῶν χωρίων δύσβατα.

π 887 Παιπάλημα: τὸν πανοῦργον, καὶ ποικίλον ἐν κακίᾳ, καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ.

π 888 Παιπάλημα: ὁ πολλὰς ἐκτροπὰς καὶ διόδους ἔχων. κυρίως δὲ τὸ λεπτὸν ἄλευρον.

π 889 Παιπαλόεις: ὁ τραχύς.

π 890 Παιπαλώδεις· τὰς δὲ παιπαλώδεις γυναῖκας Κίρκας φαμέν.

π 891 Παιπανεία: ἡ κενοδοξία.

π 892 Παίσατε: ὅπερ ἡμεῖς παίξατε. Ὅμηρος· παίσαθ', ὥς χ' ὁ ξεῖνος.

π 893 Παῖσαι: παῖξαι. τύψαι.

π 894 Παισθείς: τυπτηθείς.

π 895 Παῖς μοι Τριτογενὴς εἴη, μὴ Τριτογένεια.

π 896 Παίσωμεν μετ' αὐτῆς: συγχορεύσωμεν αὐτῇ. καὶ αὖθις· καὶ ἕδνα ᾔτει γενέσθαι βασιλίς, τὸ τοῦ Μενάνδρου, ἵνα τι καὶ παίσω, Τρικορυσία βασίλιννα καὶ αὕτη, δέσποινα εἶναι τοῦ πόντου ἐθέλουσα.

π 897 Παισός: πόλις. καὶ Παισηνός, ὁ πολίτης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 898 Παιτῖτα: Ῥωμαϊστὶ ἡ λέξις. σημαίνει δὲ γνώρισμα αἰτήσεως παρὰ Ῥωμαίοις. Χρυσάφιος δὲ ὁ πραιπόσιτος παιτῖτα ἐπεζήτει Θεοδόσιον τὸν βασιλέα.

π 899 Παιφάσσω: φανεροποιῶ, ἢ ὁρμῶ.

π 900 Πεδαρσίου: μετεώρου, πετομένου ἐκ τοῦ πέδου. Ἀριστοφάνης Ὄρνισιν· ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου δίνης πτερωτὸς φθόγγος ἐξακούεται.

π 901 Πέδαι: δεσμά. παρὰ τὸ ποῦς καὶ τὸ δέω, τὸ δεσμεύω· ἢ παρὰ τὸ πιέζειν τοὺς πόδας.

π 902 Πεδῆται: πεπεδημένοι, συνδεδεμένοι. καὶ Πεδήτης, ὁ δεσμηθείς.

π 903 Πεδιεύς: ἀπὸ τόπου.

π 904 Πεδικά: μοῖρα τῆς Ἀττικῆς. ἐκαλεῖτο δὲ οὕτως ἀπὸ τοῦ συμβεβηκότος. εἶχε δὲ καὶ προβάτων νομάς. ἔστι τὸ ὄνομα παρά τε Λυσίᾳ καὶ παρ’ ἄλλοις ῥήτορσι.

π 905 Πέδιλα: ὑποδήματα.

π 906 Πεδινός: ὁ ὁμαλὸς τόπος.

π 907 Πεδίον: ἡ γῆ. καὶ Πέδον ὁμοίως γῆ, ἔδαφος.

π 908 Πεδότριψ: ὁ ἐκθλίβων.

π 909 Πέζα: τὸ ἄκρον, ἢ τὸ ἀπολῆγον τοῦ χιτῶνος, ὃ ἡμεῖς ᾦαν λέγομεν. πρότερον γὰρ ὑπὲρ τοῦ μὴ τρίβεσθαι δέρμα προβάτων προσέρραπτον. Πέζα καὶ ὁ ποῦς. καὶ Ἀργυρόπεζα, ἡ λευκοὺς πόδας ἔχουσα. καὶ ἐν Ἐπιγράμμασι· ἔμπεδον ἐς κείνου πέζαν ἐρεισάμενος αὔρης οὐκ ἀλέγουσαν ἐπὶ χθονός.

π 910 Πέζα: ὕφασμα. τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ Βιττίον εἰργάσατο. καὶ αὖθις· Ἄρτεμι, σοὶ ταύταν, εὐπάρθενε, πότνα γυναικῶν, τὴν μίαν αἱ τρισσαὶ πέζαν ὑφηνάμεθα.

π 911 Πεζαίτεροι. ὁ δὲ βασιλεὺς πεζαιτέρους ἀμφὶ τοὺς μ′ ἀναλαβὼν ἕπεσθαί οἱ κελεύει, θάνατον ἀπειλήσας, εἰ πλείους ἕποιντο.

π 912 Πεζαίτεροι· Δημοσθένης ἐν Φιλιππικοῖς. Ἀναξιμένης δὲ ἐν α′ Φιλιππικῶν περὶ Ἀλεξάνδρου λέγων φησίν· ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας ἑταίρους προσηγόρευσε, τοὺς δὲ πλείστους καὶ τοὺς πεζοὺς εἰς λόχους καὶ δεκάδας καὶ τὰς ἄλλας ἀρχὰς διελὼν πεζαιτέρους ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρείας προθυμότατα διατελῶσιν ὄντες.

π 913 Πεζῇ: βάδην. καὶ παροιμία· πεζῇ βαδίζω· νεῖν γὰρ οὐκ ἐπίσταμαι. ἀντὶ τοῦ οὐ δύναμαι.

π 914 Πεζίτης: ὁ πεζός.

π 915 Πεζίτια: στέμματα. ἐπὶ ἀνθρώπων στεφάνη, ζώνη· ἐπὶ δὲ ξύλων τὰ κυμάτια.

π 916 Πεζολόγος: συγγραφεύς.

π 917 Πεζοπορηκότες.

π 918 Πέκειν: τὸ κτενίζειν.

π 919 Πέκος: δέρμα, κῴδιον. ἐξ οὗ καὶ πεκτῆρες. τὸ δ’ αὐτὸ καὶ πέσκος, ἐν τοῖς ἑξῆς.

π 920 Πέκτειν: ποκάζειν, κείρειν τὰ θρέμματα. Ἀριστοφάνης· ἡνίκα πέκτειν ὥρα προβάτων πόκον ἠρινόν.

π 921 Πεκτῆρες: οἱ τὸ δέρμα τίλλοντες.

π 922 Πεκτούμενον: τιλλόμενον, ξεόμενον. Ἀριστοφάνης· καὶ ποιήσω τοὺς δημότας βωστρεῖν ς’ ἐγὼ πεκτούμενον.

π 923 Πελαγιζούσαις: εἰς πέλαγος πλεούσαις. πελαγιζούσαις δὲ ταῖς ναυσὶ συνέβη τὰς πλείω καταδῦναι.

π 924

Πελαγίζω· αἰτιατικῇ.

π 925 Πελαγιῶτις λίμνη.

π 926 Πελάζει· αἰτιατικῇ. πλησιάζει, ἐγγίζει.

π 927 Πέλανος: γίνεται πέμματά τινα τοῖς θεοῖς ἐκ τοῦ ἀφαιρεθέντος ἤτοι ἐκ τῆς ἅλω· Δίδυμος δέ φησι κυρίως εἶναι πέλανον τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα. ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι· ἢ ὅτι λευκόν ἐστιν· ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐστι λευκόν. Εὐριπίδης μέντοι ἐν τῷ Ὀρέστῃ ἰδίως φησί· ἐκ δ' ὄμορξον ἀθλίου στόματος ἀφρώδη πέλανον. ὅπερ τὸν ἐπὶ τοῦ στόματος ἀφρὸν δηλοῖ.

π 928 Πέλανοι: πέμματα ἐκ παιπάλης, τουτέστιν ἀλεύρου λεπτοτέρου, εἰς θυσίαν ἐπιτήδεια· ὡς αὐτός φησι, καρποὶ μέλιτι δεδευμένοι· Διονύσιος Θρᾳξί· θεοῖς ἀπαρχαί τινες. λέγεται δὲ πέλανος καὶ ὁ περὶ τῷ στόματι πεπηγὼς ἀφρός. καὶ τὸ περιπεπηγὸς καὶ ἐξηραμμένον ὀπῶδες δάκρυον, οἷον λιβανωτὸς κόμμι. καὶ ὁ τῷ μάντει διδόμενος μισθὸς ὀβολός.

π 929 Πελαργᾶν: τὸ νουθετεῖν ἐκάλει ὁ Πυθαγόρας.

π 930 Πελαργιδεῖς· Αἰλιανός· πελαργῶν παῖδες. ὥσπερ ἀετιδεῖς, οἱ ἀετῶν παῖδες.

π 931 Πελαργικοὶ νόμοι: διὰ τὸ ἀντεκτρέφειν τοὺς γονεῖς. οὕτως Ἀριστοφάνης.

π 932 Πελαργός· ζήτει ἐν τῷ ἀντιπελαργεῖν.

π 933 Πέλας: πλησίον, γείτων. πλὴν πρόνοιαν ἀεὶ ἐποίουν Ῥωμαῖοι μή ποτε πρότεροι τὰς χεῖρας ἐπιβάλλειν τοῖς πέλας μήδ' ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων.

π 934 Πελασγοί: ἐθνικόν.

π 935 Πελάτης: ὁ ἀντιστρέφων, καὶ ὑπηρετῶν. συναγανακτῶν τοῖς πελάταις κατὰ πλῆθος ἐληλυθόσιν. ὑπηρέτην τε καὶ θεράποντα ἢ πελάτην στρατιώτην τῶν ἐκ καταλόγου ἐκώλυσε παρεῖναί τινι. καὶ αὖθις· καὶ ἑαυτὸν πελάτην ἐκείνου λέγει τε καὶ ᾄδει.

π 936 Πέλεθρα: πλέθρα. ἔστι δὲ μέτρον γῆς τὸ πλέθρον, σταδίου ἕκτον.

π 937 Πελεκάντι: δοτική. μήποτε βαρυτόνως προενεκτέον, ὡς ἀλίβας. πελεκὰν μέντοι, πελεκᾶνος κοινῶς, πελεκᾶς, πελεκάντος Ἀττικῶς. πελεκᾶς, πελεκᾶ Δωρικῶς. ἔστι δὲ εἶδος ὀρνέου.

π 938 Πέλεκυς, πελέκεως: τὸ τεκτονικὸν ἐργαλεῖον. καὶ ἐστελεωμένος οὗτος ἐμβριθὴς τέχνας ὁ πρύτανις πέλεκυς. πελέκυος δέ.

π 939 Πελεκῶ, πελεκήσω, ξύλα. Πελεκίζω δὲ τὸ μετὰ τῆς σπάθης κόπτω.

π 940 Πέλει: γίνεται, ἐστίν.

π 941 Πελειάδες: περιστεραί. καὶ πέλειαν, περιστεράν. δειλαί τοι δειλοῖσιν ἐφεδρεύουσι πέλειαι· ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα. φησὶν ἀετός. πτηνῆς ὡς ὄμμα πελειάδος πεφόβημαι. ἐπεὶ περιδεές ἐστι τὸ ζῷον. περιφραστικῶς, ὡς ἡ πέλεια.

π 942 Πέλη, Πέλης: ὄνομα τόπου.

π 943 Πελλήνη: πόλις. καὶ Πελληναῖος χιτών, ἐπὶ τῶν παλαιὰ φορούντων ἱμάτια. ἐν δὲ Πελλήνῃ διάφοροι χλαῖναι ἐγίνοντο. Ἀριστοφάνης· εὐθὺ Πελλήνης πέτεσθαι διανοῇ. ἐπεὶ ἐν Πελλήνῃ τοῖς Ἡραίοις ἆθλον ἐτίθετο χλαῖνα.

π 944 Πελίας: ὄνομα κύριον. καὶ Πελιάδες, ὀνόματα κύρια.

π 945 Πελιδνόν: μέλαν. λέγεται καὶ Πελιτνὸν παρὰ Θουκυδίδῃ. καὶ Πελιδνωθεῖσα, ὠχριάσασα. καὶ Πελιδνωμένη, ἀντὶ τοῦ μελαινομένη.

π 946 Πελιδνόν: τὸ μεταξὺ ὠχρότητος καὶ μελανίας· οἱονεὶ μολιβδοειδές. παρὰ Θουκυδίδῃ.

π 947 Πελλίς: ἔνθα τυρὸν ἀμέλγουσι, σκάφη τις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 948 Πελιοί: μέλανες, ὠχροί.

π 949 Πελοπίδης: ὁ τοῦ Πέλοπος.

π 950 Πέλωρ: μέγα τεράστιον.

π 951 Πελώρας: ὄνομα κύριον.

π 952 Πελώριος: μέγας. ἐν Ἐπιγράμμασι· ὡς δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίναν χάσμα φέρων χαλεπόν. καὶ Πελωριάς, ὄνομα τόπου. δῶρον δ’ ἐξ ἱερᾶς εἰμὶ Πελωριάδος.

π 953 Πέλωρον: μέγα. καὶ Πελώρου, μεγάλου τέρατος.

π 954 Πελτασταί: τοξόται, οἱ τοὺς ξυστοὺς κατέχοντες.

π 955 Πέλται: λόγχαι, καὶ ἀσπίδια τετράγωνα. καὶ καταπέλται.

π 956 Πέλτον: θωρακικὸν ὅπλον, καὶ εἶδος ταρίχου. ἢ ἀσπὶς ἴτυν μὴ ἔχουσα.

π 957 Πέμματα: πλακούντια. Ἀρριανός· οἱ δὲ ξένια ἔφερον, θυννοὺς ἐν κριβάνοις ὠπτημένους καὶ πέμματα ὀλίγα καὶ βαλάνους φοινίκων.

π 958 Πέμπελος: γέρων. καὶ γραῦς. παρὰ τὸ πέμπεσθαι εἰς τὸν ᾅδην.

π 959 Πέμπειν: τὸ πομπεύειν. Μένανδρος Ὑποβολιμαίῳ ἢ Ἀγροίκῳ· μικρὰ Παναθήναια ἐπεὶ δι’ ἀγορᾶς πέμποντά σε, Μοσχίων, μήτηρ ἑώρα τῆς κόρης ἐφ’ ἅρματος. καὶ πέμψαντες, τὸ πομπεύσαντες, παρὰ Θουκυδίδῃ. καὶ Πέμπομαι· αἰτιατικῇ.

π 960 Πέμπτῃ φθίνοντος: ἐν ταύτῃ αἱ τῆς μοιχείας γραφαὶ ἐδίδοντο. Μένανδρος Χαλκίδι.

π 961 Πέμψιν: ἀποστολήν.

π 962 Πενέσται: οἱ παρὰ Θεσσαλῶν μὴ γόνῳ δοῦλοι, ὑπὸ τῶν ὑπὸ Αἵμονος ἐν Ἄρνῃ νικηθέντων Βοιωτῶν, οὐ φυγόντων τὴν παρ’ αὐτῶν δουλείαν, ἀλλὰ μεινάντων μέχρι τῆς τρίτης γενεᾶς, φιληδούντων ἐπὶ τῇ χώρᾳ. παρέδοσαν δὲ αὑτοὺς ἐφ’ ὅρκῳ, ἐπὶ τῷ μήτε παθεῖν τι ἐργαζόμενοι, μήτε ἐκβῆναι ἀπὸ τῆς χώρας. καὶ ἀπὸ τοῦ μεῖναι Μενέσται καλούμενοι ὕστερον Πενέσται μετωνομάσθησαν, παραφθαρέντος τοῦ χαρακτῆρος. οὓς ἐν Λακεδαίμονι καλοῦσιν Εἵλωτας, τούτους Θετταλοὶ Πενέστας λέγουσι. χρῶνται δὲ τῷ ὀνόματι καὶ Θετταλοὶ καὶ Λακεδαιμόνιοι ἐπὶ τῶν κρατηθέντων ἐν τῷ πολέμῳ καὶ δουλευόντων τοῖς κεκρατηκόσι. Δημοσθένης ἐν τῷ κατ’ Ἀριστοκράτους. Πενέσται δὲ παρὰ Θετταλοῖς καλοῦνται οἱ παρὰ Λακεδαιμονίοις Εἵλωτες. οὐ μόνον δὲ αὐτοὺς Πενέστας καλεῖσθαί φησιν, ἀλλὰ καὶ Θετταλικάς. Ἀριστοφάνης· τοῖς Πενέσταισι ξυνών.

π 963 Πενθερά: τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ. καὶ πενθερός, ὁ πατήρ. Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει. ὁ γοῦν Ἀλκμαίων τῷ Φηγεῖ φησι· καί ς’, ὦ γεραιέ, τήν τε παῖδα μὴ δοὺς ἐμοί, γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ’ ἐμός. καὶ ὁ Πρωτεσίλαος τῷ Ἀλκάθῳ φησίν· ἄξιος δ’ ἐμὸς γαμβρὸς κέκλησαι, παῖδά μοι ξυνοικίσας. Σοφοκλῆς δὲ τὸ ἔμπαλιν· εἶπε γὰρ πενθερὸν τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ. Ὀδυσσεύς φησι πρὸς Κλυταιμνήστραν περὶ Ἀχιλλέως· σὺ δ’ ὦ μεγίστων τυγχάνουσα πενθερῶν. ἀντὶ τοῦ γαμβρῶν.

π 964 Πενθηλός: ὄνομα κύριον.

π 965 Πένθος· ὥστε πολὺν ὑπὲρ αὐτοῦ πόθον γενέσθαι καὶ πένθος ἱερόν, οἷον ἐν Λιβάνῳ τὸ ἐπ’ Ἀδώνιδι καὶ Βύβλῳ.

π 966 Πενία· διὰ τὰς ἀδίκους πάθας τῇ πενίᾳ ἐνήθλει. οὐκοῦν τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν. Ἀριστοφάνης Πλούτῳ. εἴπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον. ὁ μὲν γὰρ Διονύσιος ἐξώλης τύραννος, ὁ δὲ Θρασύβουλος φιλόπολις καὶ παντὸς λόγου κρείττων. ἐπὶ τῶν μὴ τὰ ὅμοια ὁμοιούντων.

π 967 Πενία δὲ σοφίαν ἔλαχε: παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 968 Πενία. καὶ πένης οὐχ ὁ μηδὲν κεκτημένος, ἀλλ' ὁ πολλῶν ἐφιέμενος· καὶ πλούσιος, οὐχ ὁ πολλὰ περιβεβλημένος, ἀλλ' ὁ μὴ πολλῶν δεόμενος.

π 969 Πενιχραλέον: εὐτελές, πενιχρόν. καὶ ψαιστῷ ὀλίγον δρᾶμα πενιχραλέον.

π 970 Πενταέτηρον: πέντε ἐτῶν.

π 971 Πένταθλος: ὁ Δημόκριτος ὁ Ἀβδηρίτης. ἤσκητο γὰρ τὰ φυσικά, τὰ ἠθικά, μαθηματικὰ καὶ τοὺς ἐγκυκλίους λόγους, καὶ περὶ τεχνῶν πᾶσαν εἶχεν ἐμπειρίαν. τούτου ἐστὶ καὶ τό, λόγος Ἑρμοῦ αἰκίη.

π 972 Πεντακοσιομέδιμνον: τέσσαρα τέλη ἐποίησεν Ἀθηναίων πάντων ὁ Σόλων· ὧν ἦν ἓν τέλος καὶ οἱ Πεντακοσιομέδιμνοι.

π 973 Πένταχα: εἰς πέντε μέρη.

π 974 Πεντέκτενοι: περιπόρφυροι. διὰ τὸ ἐνυφάνθαι περὶ τὰς ᾤας πέντε κτένας πορφυροῦς.

π 975 Πεντέληθεν: ἀπὸ Πεντέλης πόλεως.

π 976 Πεντεσυρίγγῳ ξύλῳ: τῇ ποδοκάκῃ. πέντε γὰρ ὀπὰς ἔχει, δι' ὧν οἱ πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἐμβάλλονται.

π 977 Πέντε τάλανθ' ἡ Χίων πόλις διὰ τὸν πρωκτὸν ὀφλήσει: τούτους ὡς ἀκρασίαν μαλακίας ἔχοντας σκώπτει Ἀριστοφάνης· καὶ διὰ μαλακίαν τῶν πρωκτῶν εὐρυτέρων ὄντων καὶ ἑτοίμων πρὸς τὸ ἀποπατεῖν.

π 978 Πεντετάλαντος δίκη διαγέγραπται: τὸ ε ἄτρεπτον τηρεῖται παρὰ τοῖς Ἀττικοῖς.

π 979 Πεντετηρίς: πενταετηρίς.

π 980 Πεντεφρῆς: ὄνομα κύριον.

π 981 Πεντηκόνταρχος: ὁ τῆς πεντηκοντόρου ἄρχων. ἐκαλεῖτο δὲ πεντηκόντορος ἡ ὑπὸ πεντήκοντα ἐρεσσομένη ναῦς.

π 982 Πεντηκοντούτης: πεντηκονταετὴς ἀνήρ. Πεντηκοντοῦτις δὲ θηλυκῶς, ἡ γυνή.

π 983 Πεντηκοστὴ καὶ Πεντηκοστεύεσθαι καὶ Πεντηκοστολόγοι: πεντηκοστὴ μὲν τὸ τέλος, ὃ τελοῦσι, πεντηκοστολόγοι δὲ οἱ τοῦτο ἐκλέγοντες, πεντηκοστεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δέ ἐστιν εὑρεῖν ἐν τῷ κατὰ Μειδίου καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένους, καὶ Ὑπερίδους ἐν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν.

π 984 Πεντηκοστολόγιον. καὶ λαβόμενος ἦγεν εὐθὺ τοῦ πεντηκοστολογίου.

π 985 Πεντώβολον ἡλιάσασθαι: νικήσαντα τοὺς Πελοποννησίους δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν πεντώβολον, ἀλλ' οὐ τριώβολον. καὶ Πεμπώβολον ὁμοίως.

π 986 Πεξάμενος: κτενίσας, ξάνας.

π 987 Πέος: τὸ σπήλαιον. καὶ Πέος δὲ τὸ αἰδοῖον. Ἀριστοφάνης Νεφέλαις· πλὴν ἢ τὸ πέος ἔχοντα ἐν τῇ δεξιᾷ. καὶ αὖθις· ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου. καὶ αὖθις· πότερον, ὡς ἀνὴρ τρέφῃ; ποῦ δὲ τὸ πέος; καὶ αὖθις· τίς Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν.

π 988 Πεπαρήθιος: ἀπὸ τόπου.

π 989 Πεπάρηθος: νῆσος, οὐκ ἄποθεν Εὐβοίας.

π 990 Πεπαρθενεῦσθαι: διατετμῆσθαι τῇ μίξει.

π 991 Πεπαρμένον: πεπερονημένον, καθηλωμένον, τετρυπημένον.

π 992 Πεπαρῳνήκασιν: ἡμαρτήκασιν.

π 993 Πέπατο: ἐκέκτητο. πῶ γὰρ τὸ κτῶμαι. καὶ πολυπάμων, ὁ πολλὰ κεκτημένος. ἐν Ἐπιγράμμασι· πέπατο γὰρ οὐ μέγα τοῦτο κληρίον ἐν λυπρῇ τῇδε γεωλοφίᾳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 994 Πεπαίνει: πραΰνει.

π 995 Πεπελτωμένα: πεπιναρωμένα.

π 996 Πεπεμμένου πλακοῦντος: ἀντὶ τοῦ ποιηθέντος, τοῦ ἐν τετράδι πεπεμμένου. ἐπειδὴ ἔξω τῶν ἑορτῶν ἱεραί τινες ἡμέραι ἐνομίζοντο Ἀθήνησι θεοῖς τισίν, οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνος, τετάρτη Ἑρμῇ, ὀγδόη Θησεῖ.

π 997 Πέπειρον: ἀκμαῖον. εἴρηται δὲ ἐπὶ ὀπώρας ὡρίμου. γραῦς φησι παρὰ Ἀριστοφάνει· οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔνεστιν, ἀλλ’ ἐν ταῖς πεπείροις. οὐδέ τοι στέργειν ἂν ἐθέλοι μᾶλλον ἢ ἐγὼ τὸν φίλον.

π 998 Πεπιθημένος: πεπιθήσας, θαρρήσας. καὶ Πεποιθώς, θαρρῶν.

π 999 Πεπίθοιμεν: πείσοιμεν.

π 1000 Πεπιλημένη: συνεσφιγμένη. Ἰώσηπος· μέλας, τὸ σῶμα ἰσχνός, τὴν σάρκα πεπιλημένος· ἀλλ’ ἐνῴκει τις ἡρωϊκὴ ψυχὴ λεπτῷ σώματι.

π 1001 Πεπλαδηκός: ὑγρανθέν, σεσηπός.

π 1002 Πεπλασμένῳ: κακούργῳ.

π 1003 Πεπλεγμένη· πεπλεγμένη φάλαγξ ἐστίν, ἥτις ὑποπίπτουσι τόποις ἀναγκαζομένη ἐξομοιοῦσθαι, τερηδόνος λόγον ἐπέχει· ξιφοειδὴς ἡ φάλαγξ γίνεται καὶ πολυειδὴς τῇ τάξει.

π 1004 Πεπληγώς: παρ’ Ὁμήρῳ· ἀντὶ τοῦ πλήσσων τὸν παρακείμενον παρείληφε.

π 1005 Πέπλον: περιβόλαιον, ἱμάτιον γυναικεῖον.

π 1006 Πέπλος· ἰδίως παρὰ τοῖς Ἀθηναίοις πέπλος τὸ ἄρμενον τῆς Παναθηναϊκῆς νεώς, ὃν οἱ Ἀθηναῖοι κατεσκεύαζον τῇ θεῷ διὰ τετραετηρίδος· ἧς καὶ τὴν πομπὴν διὰ τοῦ Κεραμεικοῦ ἐποίουν μέχρι τοῦ Ἐλευσινίου. πέπλον δὲ τοῦτο ἐκάλουν διὰ τὸ ἐρεοῦν αὐτὸ εἶναι. ἐγέγραπτο δὲ ἐν αὐτῷ ὁ Ἐγκέλαδος, ὃν ἀνεῖλεν ἡ Ἀθηνᾶ· ἦν δὲ τῶν Γιγάντων εἷς. ἢ ὅτι νικήσαντες οἱ Ἀθηναῖοι πέπλον ἐποίησαν τῇ Ἀθηνᾷ καὶ ἐνέγραψαν τοὺς ἀρίστους ἐν αὐτῷ. Πέπλος· περὶ τοῦ πέπλου τοῦ ἀναγομένου τῇ Ἀθηνᾷ τοῖς μεγάλοις Παναθηναίοις οὐ μόνον παρὰ τοῖς ῥήτορσίν ἐστιν ἡ μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς. ὅτι Πέπλος καλεῖται καὶ ἑανόν. ἔστι δὲ ὁ πέπλος γυναικεῖον ἔνδυμα.

π 1007 Πεπλώματα· καὶ ζήτει ἐν τῷ δυσπινῆ.

π 1008 Πεπνυμένος: συνετός.

π 1009 Πεποδισμένοι: τοὺς πόδας δεδεμένοι. τοῖς Πέρσαις ὡς ἐπὶ τὸ πολὺ οἱ ἵπποι πεποδισμένοι εἰσί, τοῦ μὴ φεύγειν ἕνεκα, εἰ λυθείησαν.

π 1010 Πεποδισμένοι: τοὺς πόδας κατεσχημένοι. Ξενοφῶν· πονηρόν ἐστι νυκτὸς στράτευμα Περσικόν· οἱ γὰρ ἵπποι αὐτοῖς δέδενται.

π 1011 Πέπομαι: παθητικόν. Πέπωκα δέ.

π 1012 Πέπον: προσφιλέστατε, προσηνέστατε.

π 1013 Πέπονες: ἔκλυτοι, ἀσθενεῖς. ἐν Ἐπιγράμμασι· ὄφρα τάχιστα λικμήσῃ πεπόνων καρπὸν ἀπ’ ἀσταχύων. ἀντὶ τοῦ ὡρίμων.

π 1014 Πέπορδα· Ἀριστοφάνης· ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ μᾶλλον ἢ τὸ γῆρας ἐκδύς. ἀντὶ τοῦ ἐάσας. ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων τῶν ἐκδυομένων τὸ γῆρας· ἥδομαι γὰρ ἐκφυγὼν τὴν ἀσπίδα, τουτέστι τὸν πόλεμον, μᾶλλον ἢ ἐκδὺς τὸ γῆρας.

π 1015 Πεποροποιημένον: ἐκ τοῦ πόρος.

π 1016

Πεπορπημένος: ἱμάτιον διπλοῦν περικείμενος, πόρπῃ συνεχόμενον, ὡς μὴ ἀφίστασθαι τῶν ὤμων. κεῖται παρὰ Λυκούργῳ ἐν τῷ κατὰ Τιμοκράτους· τῶν δ’ ἀνδρῶν τοὺς τοῖς σώμασιν ἀπειρηκότας καὶ ταῖς ἡλικίαις πρεσβυτέρους καὶ ὑπὸ τῶν νόμων τοῦ στρατεύεσθαι ἀφειμένους ἰδεῖν ἦν καθ’ ὅλην τὴν πόλιν τότ’ ἐπὶ γήρως ὀδῷ περιφθειρομένους, διπλᾶ ἱμάτια ἐμπεπορπημένους.

π 1017 Πεπότηται: ἀνέπτη, ἀνεκουφίσθη, καὶ μετέωρα ἤδη φρονεῖ. Ἀριστοφάνης Νεφέλαις· ἡ ψυχή μου πεπότηται.

π 1018 Πεπώρωται: τετύφλωται.

π 1019 Πεπραξικοπηκότα: ἀντὶ τοῦ προδώσαντα.

π 1020 Πεπρᾶσθαι καὶ πωλεῖσθαι διαφέρει· τὸ μὲν γὰρ πεπρᾶσθαι πάντη καὶ πάντως ἀπέβη, τὸ δὲ πωλεῖσθαι ἔστιν ὅτε καὶ οὐκ ἀποβαίνει· ἐνδέχεται γὰρ τὸ ἔτι πωλούμενον μὴ πραθῆναι.

π 1021 Πέπρισται: κέκοπται.

π 1022 Πεπρωμένη: εἱμαρμένη, τύχη, γένεσις.

π 1023 Πεπρωμένον: εἱμαρμένον, ὡρισμένον, πεπερασμένον ἀπὸ μοίρας εἰς πέρας.

π 1024 Πέπταται: ἥπλωται.

π 1025 Πεποιωμένον: ποιότητα ἔχον.

π 1026 Πεπυκασμένον: ἐσκεπασμένον, περιβεβλημένον. εἶτα ἐν ἑτέρᾳ σκηνῇ ξυνῆλθον ἠμφιεσμένη τε καὶ καταπεπυκασμένῃ οὐκ ἄλλως ἐξ ἱματίων σηρικῶν.

π 1027 Πέπυστο: ἠκηκόει.

π 1028 Περᾷ: πλέει.

π 1029 Πέρα: ἐπίρρημα. ἀντὶ τοῦ περισσότερον. τὸ πέρα δὲ ἀντιτείνοντας ξυνδεῖν. καὶ αὖθις· δασμολογοῦντες αὐτοὺς τῆς δυνάμεως πέρα. καὶ αὖθις· οὐ δυναμένων δὲ τὸ πέρα φέρειν δι’ ὕβριν τε καὶ ὠμότητα. καὶ αὖθις· ἀρρήτων ἀρρητότερα καὶ κακῶν πέρα. καὶ αὖθις· εἰπόντες δὲ τοῦ Ἰωτόμου τὸ τόλμημα ἔπαυσαν αὐτὸν τὸ πέρα ἀμφιγνοοῦντα. καὶ Ἀριστοφάνης· ἀρ’ οἶσθ’, ὅτι Ζεὺς εἴ με λυπήσει πέρα, μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος καταιθαλώσω; καὶ αὖθις· ὁ δὲ τοῦ ἐπὶ Σελεύκειαν τὸ πέρα ἄγειν ἀπέσχετο. ἀντὶ τοῦ πλεονάκις.

π 1030 Περᾶναι.

π 1031 Περάνῃ: αὐθυπότακτον. ἀντὶ τοῦ τελειώσει.

π 1032 Περαντικός: πέρας ἐπιτιθεὶς τοῖς λόγοις.

π 1033 Πέρασις βίου: ἡ τελευτή. δότε βίου πέρασιν καὶ καταστροφήν τινα εἰ μὴ δοκῶ τι μειόνως ἔχειν ἀεί. εἰ μὴ δοκῶ ἐλαττόνως ἔχειν τὰ κακὰ καὶ δεῖσθαι προσθήκης κακῶν. καὶ Πέρατα, τέλη.

π 1034 Περγαμηναί: αἱ μεμβρᾶναι, αἱ δέρρεις.

π 1035 Περγάμιον: δήμιον.

π 1036 Πέργαμον: τὴν πόλιν Ἴωνες λέγουσιν, οἱ δὲ πάντες τὰ ὑψηλά.

π 1037 Περγασῆθεν· δῆμος ἡ Περγασὴ τῆς Ἐρεχθηΐδος. τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασέα τε καὶ Περγασῆθεν.

π 1038 Περγαῖος.

π 1039 Πέρδεσθαι· ὅτι Ἀγύρριος τοσοῦτον ἐπὶ μαλακίᾳ διεβέβλητο, ὡς καὶ πέρδεσθαι αὐτόν.

π 1040 Περδίκκας, καὶ κλίνεται Περδίκκου. ὁ Μακεδών· ὃν ἔκτειναν ἐξ ἐπιβουλῆς οἱ Μακεδόνες, ἄνδρα τά τε πολέμια κράτιστον γενόμενον καὶ μεγαλονοίᾳ χρησάμενον διαφερόντως· ἐξ οὗ δὴ καὶ τὸ ὑπέρογκον αὐτῷ τοῦ φρονήματος εὐθαρσὲς πρὸς πάντα κίνδυνον ἦν, τό τε ἄγαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεγαλήγορον, σὺν ᾧ πάντας Μακεδόνας ὑπερφρονεῖν ἔδοξε, τάς τε εὐπραγίας αὐτῷ φθόνου ἐπαξίας ἐποίει· ἐπὶ δὲ τῷ φθόνῳ μῖσος ἐπεγίνετο, καὶ τὸ μὴ φέρειν ὑπὲρ σφᾶς ὄντα τε καὶ ὀνομαζόμενον. ὅθεν καὶ τὴν ἐν τοῖς πταίσμασι μεταβολὴν σὺν ὀργῇ τῆς πρόσθεν ὑποψίας μᾶλλον ἢ κρίσεως ἀληθεστάτης δικαιώσει ἐς τὸ κατ' αὐτοῦ ἐπιβούλευμα ἐποιοῦντο.

π 1041 Περδίκειος κάρα· καὶ Περδίκειος πούς.

π 1042 Πέρδικος ἱερόν: παρὰ τῇ ἀκροπόλει. Εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες Δαίδαλος καὶ Πέρδιξ· ἧς υἱὸς Κάλως· ᾧ φθονήσας ὁ Δαίδαλος τῆς τέχνης ἔρριψεν αὐτὸν κατὰ τῆς ἀκροπόλεως· ἐφ' ᾧ ἡ Πέρδιξ ἑαυτὴν ἀνήρτησεν, Ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν. Σοφοκλῆς δὲ ἐν Κωμικοῖς τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα.

π 1043 Περαία: ὄνομα τόπου.

π 1044 Περραιβοί: ἔθνος.

π 1045 Περαίνειν: τὸ συνουσιάζειν.

π 1046 Περαίνοντας: τελειοῦντας.

π 1047 Περαιῶ· αἰτιατικῇ.

π 1048 Περαιωθέντες: περάσαντες.

π 1049 Περαιτέρω: πλέον, πάνυ.

π 1050 Περεγρῖνος: ὄνομα κύριον.

π 1051 Περήνη: πόλις.

π 1052 Περήτρια: ἡ περιαγγέλλουσα τὴν ὥραν.

π 1053 Πέρι: περισσῶς.

π 1054 Περιαγειρόμενοι· ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι ἀθληταί. Πολιτείας ε' ἐπὶ τέλει. λέγεται γὰρ ὅτι τὸ μὲν ἐξ ἀρχῆς ἆθλα προυτίθεσαν τοῖς ἀγωνιζομένοις, ὃν τρόπον καὶ Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἱστοροῦσιν· ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν· τῶν δ' ἄλλων οἱ μὲν σύνεγγυς καθήμενοι καὶ πλησιάζοντες πλέονος ἄξια ἐπετίθεσαν, οἱ δὲ πορρώτερον ἄνθεσι καὶ φύλλοις ἔβαλλον περιερχομένους· ὡς καὶ νῦν τοῖς ἐπιφανῶς ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ δὲ χιτῶνας. ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς ἐπαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα. ὅθεν Σιμωνίδης Ἀετύλου φησὶν οὕτως· τίς δὴ τῶν νῦν τοσάδε πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνων. ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν· ἐκεῖνον γὰρ ἐκ Κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ φύλλοις ἔβαλλον καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων.

π 1055 Περιαγκώνισμα.

π 1056 Περιάγνυται: περικατακλᾶται. οἱονεὶ περιίσχεται. καὶ Περιαγνυμένου, περικλωμένου. πρὸς τὴν ἑσπερίαν τοῦ κόλπου ἀκτήν, τοῦ πρὸς τῇ Αἴνῳ τῇ πόλει περιαγνυμένου.

π 1057 Περιάγξαι: περιστρέψαι, συνθρίψαι.

π 1058 Περιαγόραιος: λάλος.

π 1059 Περιαγωγάς: τὰς ἐν κύκλῳ περιφοράς. ἀετοὶ δὲ ἓξ κυκλοτερεῖς περὶ τὸ στρατόπεδον ποιησάμενοι περιαγωγὰς ἐν δεξιᾷ διέστησαν.

π 1060 Περιαθρεῖν: περισκοπεῖν.

π 1061 Περίακτος ὁδός.

π 1062

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Περιαλγῶν: ἀχθόμενος. κἀγὼ περιαλγῶν τοῖς γεγονόσι διὰ γραμμάτων ἐδεόμην ἀναπεμφθῆναι ὡς τὸν πατέρα τὸν ὑμέτερον.

π 1063 Περίαλος: τὸ ἰσχίον.

π 1064 Περιαλουργός· Ἀριστοφάνης περὶ Λυσιστράτου. περιαλουργὸς κακοῖς, ῥιγῶν τε καὶ πεινῶν ἀεὶ πλεῖν ἢ λθʹ ἡμέρας τοῦ μηνὸς ἑκάστου. τουτέστιν ὁ κακοῖς βεβαμμένος· ἢ ὁ βαθὺς τοῖς κακοῖς. μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφύρας τῆς θαλασσοβαφοῦς, ὅτι ἐκ βάθους τὸ ὄστρεον εὑρίσκεται. ἁλουργὶς δὲ ἡ πορφύρα.

π 1065 Περιαμησάμενος: θερίσας.

π 1066 Περιαμφί: κύκλῳ.

π 1067 Περίανδρος, Κυψέλου, Κορίνθιος, τῶν ζʹ σοφῶν, γεγονὼς κατὰ τὴν ληʹ ὀλυμπιάδα. ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπειον βίον ἔπη ͵βʹ. οὗτός ἐστι Περίανδρος ὁ διὰ λύπην ἰδίαν ἀποθανών· ὡς καὶ τὸ ἐπ᾽ αὐτῷ ἐπίγραμμα μαρτυρεῖ, οὕτως ἔχον· μήποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ τέρπεο πᾶσιν ὁμῶς, οἷσι δίδωσι θεός. καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη, οὕνεκεν οὐκ ἔτυχε πρήξιος, ἧς ἔθελεν.

π 1068 Περίανδρος, ὁ Κυψέλου υἱός, τοῦ βασιλέως Κορίνθου, τὴν βασιλείαν παρὰ τοῦ πατρὸς κατὰ πρεσβεῖον παραλαμβάνει καὶ ὑπὸ ὠμότητος καὶ βίας ἐξέτρεψεν αὐτὴν εἰς τυραννίδα· καὶ δορυφόρους εἶχε τʹ ἐκώλυσέ τε τοὺς πολίτας δούλους κτᾶσθαι καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων. εἰ δέ τις ἐπὶ τῆς ἀγορᾶς καθέζοιτο, ἐζημίου, δεδιὼς μή τι βουλεύοιντο κατ᾽ αὐτοῦ. λέγεται δὲ καὶ ἄλλο τοῦτον ἄνομον ἐργάσασθαι, νεκρᾷ τῇ ἑαυτοῦ γυναικὶ μιγέντα ὑπ᾽ ἔρωτος. ἐστρατεύετο δὲ συνεχῶς καὶ ἦν πολεμικὸς τριήρεις τε ναυπηγησάμενος ἀμφοτέραις ἐχρῆτο ταῖς θαλάτταις. φασὶ δέ τινες αὐτὸν καὶ τῶν ζʹ σοφῶν γεγονέναι· τὸ δὲ οὐκ ἦν.

π 1069 Περιανθίζω: ἄνθη συλλέγω.

π 1070 Περιαοιδός: ἐγκύκλιος ᾠδή.

π 1071 Περιάπτω· δοτικῇ.

π 1072 Περιαστράπτω· αἰτιατικῇ.

π 1073 Περιαυθαδίζεται: ἐν ὑπερηφανίᾳ ἀναστρέφεται· ἢ μέγα φρονεῖ περὶ ἑαυτοῦ.

π 1074 Περιαυτίζεται: περὶ ἑαυτοῦ μέγα φρονεῖ· ἢ ἐν αὐτῇ τῇ λέξει ἐνδιατρίβει.

π 1075 Περιαυτολογεῖν: περὶ ἑαυτοῦ λέγειν· τουτέστι μετὰ ὑπερηφανίας.

π 1076 Περιβάδην: ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ· πλίξ γὰρ τὸ βῆμα. καὶ πλίγματα, τὰ πηδήματα.

π 1077 Περιβαλόμενος: προσπορισάμενος. περιβαλόμενος δὲ πολλὴν λείαν ἐπῆγεν ἐπὶ τὸ νεόκτιστον φρούριον. ὁ δὲ Ἀπολλώνιος τὸ Λεωνίδου σῆμα τοῦ Σπαρτιάτου οὐ περιέβαλε μόνον, ἀγασθεὶς τὸν ἄνδρα. καὶ αὖθις· καὶ πλοῦτον περιβάλλει ἀνδρὶ πένητι μέν, εὐσεβεῖ δὲ καὶ ἀεὶ θεραπεύοντί οἱ τὸν νεών. καὶ αὖθις· ἐν ὀλίγῳ χρόνῳ πολλὴν σοφίαν περιβαλόμενος.

π 1078 Περιβαλλομένους: προσλαμβανομένους. Ξενοφῶν· τοὺς ἐπιτηδείους ἄλλους ἄλλοσε ἀφῆκε καταθεῖν καὶ ἐκέλευε περιβαλλομένους, ὅπως τις ἐπιτυγχάνοι, ἐλαύνειν πρὸς αὐτόν. καὶ Πολύβιος· ὁ δὲ Ἄτταλος περιβαλλόμενος πλείω λόγον ὑπεμίμνησκεν αὐτοὺς τῆς ἀνέκαθεν τῶν προγόνων ἀρετῆς. ἀντὶ τοῦ διεξελθών. καὶ αὖθις· δεσμοῖς περιβαλών. καὶ Αἰλιανός· οἱ δὲ τοὺς ὑπηρέτας αὐτῷ περιβαλόντες εἰς τὸ θέατρον ἄγουσιν.

π 1079 Περιβάλλω· αἰτιατικῇ.

π 1080

Περίβαρα: ὑποδήματα. καὶ Περιβαρίδες· Θεόπομπος ἐν Σειρῆσιν. ὑποδοῦ λαβὼν τὰς περιβαρίδας. ἢ Περιβαρίδες, ὑποδήματα γυναικῶν.

π 1081 Περιβάς: ἐποχησάμενος. περιβὰς δὲ τὸν ἵππον ἤλαυνεν ὡς ἐπὶ τὸ θορυβούμενον.

π 1082 Περίβλεπτος: ἔξοχος, μέγιστος.

π 1083 Περιβόλαιον: περιβολή, ἔνδυμα. ἄβυσσον καλεῖ τὴν ὑγρὰν οὐσίαν ἡ θεία γραφή. ἐπεὶ οὖν ἡ γῆ πανταχόθεν ὕδασι περιέχεται, μεγάλοις καὶ μικροῖς πελάγεσιν, εἰκότως περιβόλαιον αὐτῆς εἴρηκεν ὁ Δαβίδ.

π 1084 Περιβολή: εἶδος λόγου δεινότητος. ἀλαζόνας φασὶν εἶναι τοὺς Ἕλληνας, τὰ οἰκεῖα αἴροντας διά τε ἐπιγραμμάτων καὶ συγγραφῆς καὶ τῆς ἄλλης τῶν λόγων πομπείας τε καὶ περιβολῆς. καὶ Περιβολή, ὁ πλοῦτος. καλοῦνται δὲ ὑπὸ τῶν ἐν περιβαλῇ γέργηθες, ἥ τε τύρβη καὶ οἱ χειρώνακτες.

π 1085 Περίβολος: ὁ τῆς νηός.

π 1086 Περιγηθής: περιχαρής.

π 1087 Περιγίνομαι· γενικῇ.

π 1088 Περιγλωττίς: σκεπαστήριον τῆς γλώττης. Πίθυλλόν φασι, τὸν Τένθην καλούμενον, περιγλωττίδα ὑμενίνην φορεῖν καὶ προσελυτροῦν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις. καὶ δακτυλήθρας ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν’ ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ.

π 1089 Περίγρα: ὁ διαβήτης, δι’ ἧς οἱ τροχοὶ περιφερεῖς ἀποτελοῦνται· πυράγρας γὰρ οὐδεμία πρὸς ἁμάξης κατασκευὴν χρεία. ἔστι δὲ βοηθῆσαι καὶ τῇ κρατούσῃ γραφῇ, ἐπεὶ καὶ πυράγραις ἐπὶ ταῖς σιδηροτρόχοις ἁμάξαις χρῶνται, περίγραις δὲ ἐπὶ ταῖς ξυλίναις. ὁ Θεολόγος Γρηγόριός φησιν εἰς τὸν συντακτήριον· εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν θεοῦ, τοῦτο δὲ δι’ ἐμέ, ἡ πυράγρα διὰ τὴν ἅμαξαν ἢ ὁ πρίων διὰ τὴν θύραν· νικῶ τῇ αἰτίᾳ.

π 1090 Περιγράψαι: οἷον ἀποκτεῖναι. ἐπεὶ οἱ ἀποθανόντες περιγράφονται καὶ περιαιροῦνται τῶν ἀρχείων.

π 1091 Περιγυρίδα: περιφέρειαν.

π 1092 Περιδαρδάπτεσθαι: κατεσθίεσθαι.

π 1093 Περιδέεια. καὶ Περιδεής, περίφοβος. καὶ τὰ συμπεσόντα αὐτοῖς πολλὰ καὶ δεινὰ τῷ περιδεεῖ τῆς ὄψεως ἐμήνυον.

π 1094 Περιδέξιος: ὁ καὶ τῇ ἀριστερᾷ ἐργαζόμενος. παρὰ δὲ τῷ Θεολόγῳ λέγοντι, καὶ ὅπως ἀποφεύξῃ τὸν περιδέξιον. περιδέξιόν ἐστι πᾶν διλήμματον· ἑκατέρωθεν γὰρ βούλεται συνάγειν. Περιδέξιος καὶ ὁ σοφός. οἷος ἐκεῖνος ἀεὶ περιδέξιος ἥρως. παρὰ Καλλιμάχῳ.

π 1095 Περιδέρραια: περιτραχήλια κόσμια.

π 1096 Περιδεῖν: περιδεσμεῖν, περιάπτειν. Ξενοφῶν· ὁ δὲ διδάσκει περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακκία περιδεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσι, διὰ τὸ μὴ καταδύεσθαι.

π 1097 Περίδειπνον. καὶ Περίδειπνον τὸ νεκρῶν. καὶ τοῦτο ἐδείπνουν τὸ πρῶτον περίδειπνον.

π 1098 Περιδήλιον: πειρατήν.

π 1099 Περιδινοῦνται: περιοδεύονται, περιστρέφονται. ὁ δὲ περιδινήσας ἄφνω ἐς τὸ πρόσωπον τὸν ἵππον ὑπηντίαζε τοῖς δειλαίοις.

π 1100 Περιδινοῦντες: περιστρέφοντες. οἱ δὲ Βαβυλώνιοι ἐντιθέντες εἰς σφενδόνας ᾠὰ καὶ περιδινοῦντες ἐν κύκλῳ, ἅτε οὐκ ἄπειροι τῶν αὐτοσχεδίων καὶ κυνηγετικῶν διαιτημάτων, ἀλλὰ μεμελετηκότες τὰ ἐν ἐρημίᾳ μηχανήματα, ἑφθὸν καὶ ὠμὸν τῇ ῥύμῃ τὸ ᾠὸν κατεσκεύαζον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1101 Περίδου: περίθες. Ἀριστοφάνης· ἴθι σὺ περίδου καὶ ταχέως ἀνὴρ γενοῦ. καὶ αὖθις· ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι. ἀντὶ τοῦ ἐπὶ τῆς κεφαλῆς συνθήκην θεῖναι. καὶ αὖθις· εἰ βούλει, περίδου μοι περὶ θυμητίδων ἁλῶν. εἰ βούλει, φησί, ποιησώμεθα συνθήκας περὶ θυμητίδων ἁλῶν, οἷον μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι· ἅλας θυμίτας δοὺς ἐμοὶ καὶ κρόμυα. τὸ δὲ περίδου μοι καὶ Ὅμηρός φησι.

π 1102 Περίδου: τουτέστι συνθήκην ποιοῦ. Ἀριστοφάνης Νεφέλαις· περίδου νῦν ἐμοί, εἰ μὴ τὸ τετράμετρόν ἐστιν ἡμιεκτόν.

π 1103 Περιδώμεθα: συνθώμεθα. Ὅμηρος· δεῦρό νυν ἢ τρίποδα περιδώμεθα.

π 1104 Περιδράττεσθαι: περιέχεσθαι. καὶ Περιδράσσω· γενικῇ.

π 1105 Περίδρομος: πάντη περιέχεσθαι δυνάμενος.

π 1106 Περίδρομοι κύνες: οἱ πανταχοῦ δυνάμενοι περιστρέφεσθαι. Ἀριστοφάνης Βατράχοις.

π 1107 Περιδύεται: κρύβεται, εἰσδύεται. καὶ Περιδυθῆναι, ἐκδυθῆναι.

π 1108 Περιδύσας: ἐκδύσας, ἀφελόμενος. περιδύσας οὖν τὸν ναόν, ὡς καὶ τὰ σκεύη τοῦ θεοῦ βαστάσαι.

π 1109 Περιαιρεῖν: ἀφαιρεῖσθαι, ἀποκόπτειν, καθυφεῖσθαι. συγχωρηθῆναι δὲ τοῖς Κελτίβηρσιν ὑπὸ Τιβερίου πρεσβεύειν πρὸς τὴν σύγκλητον καὶ περιαιρεῖν, ἐάν τι τούτων δύνωνται παραιτεῖσθαι. οἱ δὲ παραλῦσαι ἐπρέσβευσαν τὴν σύγκλητον τῶν στρατιωτῶν καὶ τῶν φόρων.

π 1110 Περιαιροῦμαι· αἰτιατικῇ.

π 1111 Περιεβάλοντο: ἐπεκτήσαντο. οἱ δὲ καταδραμόντες τὴν χώραν περιεβάλοντο λείας πλῆθος. καὶ αὖθις· ὁ δὲ Ἀπολλώνιος οὐ μόνον τὸ σῆμα Λεωνίδου τοῦ Σπαρτιάτου περιέβαλεν, ἀγασθεὶς τὸν ἄνδρα.

π 1112 Περιέδυσεν: ἀφείλετο τὰ ἱμάτια. ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν, ὡς οὗτος ταῦτα τῶν σαρκῶν. περὶ ὀστέων λέγων.

π 1113 Περιεζώσατο: ἀντὶ τοῦ περιεβάλετο. ἀπορῶν ἐπιτρόπου γυμνὸς ὢν τοῦτον τέως περιεζώσατο. οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν.

π 1114 Περιεκέχυτο: πανταχόθεν περιέρρει. ἐπειδὴ τῷ Τιβερίῳ ἤδη τὰ τῆς πολιτείας περιεκέχυτο πράγματα.

π 1115 Περιεκόκκυσα: κόρδακα ὠρχησάμην. Ἀριστοφάνης.

π 1116 Περιεκτικόν: περιέχον.

π 1117 Περιελῶ ς’ ἀλαζονείας. ὑποτεμοῦμαι τὰς ὁδούς σου: οἷον ἀποδύσω σε, παύσω τῶν ἀλαζονειῶν. τὸ δὲ περιελάσω ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων. παύσω σε καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω σε, νικήσω. ὑποτεμοῦμαι δὲ ὡς βυρσοδέψης· ὑποτέμνουσι γὰρ τὰ δέρματα, διὰ τὸ φαίνεσθαι παχέα.

π 1118 Περιεμεκτήσας· ὁ δὲ περιεμεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου καὶ διαλυσάμενος τὴν ξενίην ἐποίει τοιάδε. ἀντὶ τοῦ δεινοπαθήσας. ὁ δὲ Θεμίσων, ἀνὴρ τῆς Φρονίμης, περιεμέκτησεν αὐτὴν ἐν τῷ πελάγει. καὶ ζήτει ἐν τῷ Βάττος.

π 1119 Περιέπειν· αἰτιατικῇ. φυλάσσειν, ἢ ἐνεργεῖν.

π 1120 Περιεπτισμένον: λελεπισμένον, περιεξεσμένον, περικεκαθαρμένον.

π 1121 Περιεπτισμένοι: οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί. κυρίως δὲ πτίσσειν ἐστὶ τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη, ἡ λελεπισμένη κριθή. Ἀριστοφάνης· ἀλλ’ ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι.

π 1122

Περιέπτυξαν: ἐκύκλωσαν. οἱ δὲ Ῥωμαῖοι κυκλωθέντες ὑπὸ τῶν βαρβάρων καὶ τὸ πλαίσιον λύσαντες ἐς λόχους περιέβαλον τοὺς περιέχοντας. οὕτω θᾶττον ἀναπνοῆς αὐτοὺς περιέπτυξαν καὶ συγκλείσαντες ἅπαντας κατηκόντισαν· δείξαντες ἐν μιᾷ ἡμέρᾳ καὶ ὅπως χρὴ διαφεύγειν κύκλωσιν καὶ ὅπως κυκλώσασθαι δι’ ὑπερβολὴν ἀνδρείας.

π 1123 Περιεργάζεσθαι: περιγενήσεσθαι. ὁ δὲ περιεργασάμενος τοὺς οἴκους, ἐν οἷς συντρέχοντες ἐκκλησιάζουσι, τούτοις συνέσχηκεν.

π 1124 Περιεργῶ· αἰτιατικῇ.

π 1125 Περιέρρων· ζητῶ περιέρρων αὐτὸν ἐξ ἑωθινοῦ. Κραπατάλοις Φερεκράτης. ἀπὸ τοῦ ἔρρων, ὃ σημαίνει τὸ φθειρόμενος.

π 1126 Περιερέττων: κωπηλατῶν.

π 1127 Περιερρύη: ἐξεχύθη, ἐξέπεσεν. ὀρχουμένου γὰρ αὐτοῦ, ὁ ἀκινάκης περιερρύη.

π 1128 Περιέρχομαι: ἐνεδρεύω, ἐξαπατῶ, σοφίζομαι, ὑπέρχομαι. Ἀριστοφάνης· σκέψασθε δέ μ’ εἰ σοφῶς αὐτοὺς περιέρχομαι τοὺς οἰομένους φρονεῖν κἄμ’ ἐξαπατύλλειν.

π 1129 Περιέσσατο: περιεβάλετο.

π 1130 Περιέσεσθαι: περιγενήσεσθαι. οὐ γὰρ ἑτέρως περιέσεσθαι στρατηγοῦ θερμοῦ τε καὶ ἀμάχου παντάπασιν.

π 1131 Περίεσι: καθαρά.

π 1132 Περιεσκεμμένος: ἠκριβωμένος.

π 1133 Περιεσόμεθα: περιγενησόμεθα.

π 1134 Περιέσπασαν: ἀτίμως περιεῖλον. Αἰλιανός· τὸν βωμὸν ἀνέστρεψαν καὶ τὸν κόσμον ὅσος ἦν περικείμενος, τοῦτον περιέσπασαν.

π 1135 Περίεσται· γενικῇ.

π 1136 Περιέστηκεν· αἰτιατικῇ. περιΐσταται, περιέστραπται. καὶ περιστάντες αὐτὸν πᾶν τὸ τῆς ἀδελφότητος πλήρωμα. καὶ τὸ περιεστηκὸς ἐκεῖνο πλῆθος τὸν πατριάρχην Ἠλίαν διατεμὼν ὁ θεῖος Σάβας.

π 1137 Περιέστηξαν: περιεκύκλωσαν.

π 1138 Περιεστήξει: περισταθήσεται.

π 1139 Περιέχεσθαι· γενικῇ. ἀντέχεσθαι, φροντίζειν. μήτε αὐτοῦ πάνυ περιέχεσθαι Ῥωμαίους. αἰτιατικῇ δὲ ὡς τό, ζάλη ἁμαρτημάτων περιέχει με, σώτηρ.

π 1140 Περιεχόμενον: ἀντιποιούμενον.

π 1141 Περίζωμα: τὸ ὑπὸ τὰ αἰδοῖα σκέπασμα. γυμνῶν μαχομένων τῶν Ῥωμαίων ἐν τοῖς περιζώμασι.

π 1142 Περίζυγα· Ξενοφῶν· ἔχειν δὲ χρὴ καὶ ἱμάντας· τούτων γὰρ τριβομένων καὶ ῥηγνυμένων ἀνάγκη ἀργεῖν, ἢν μή τις ἔχῃ περίζυγα.

π 1143 Περιεῖδον· αἰτιατικῇ.

π 1144 Περιειλάμενος: περιειλησάμενος.

π 1145 Περίειμι: ζῶ, ἔτι σῴζομαι. καὶ αὐτὸς μέν, ἔφη, ἐπὶ τῆς Μυσίας ἐπολέμησα καὶ περίειμι νῦν· καὶ λόγχην ἐπανατείνας, ἐν ταύτῃ, ἔφη, πίστις ἡμῖν ἐστι.

π 1146 Περιεῖναι: περιγενέσθαι. ἰδὼν ὅτι οὐκ ἄλλως τὴν πόλιν ἢ λιμῷ περιεῖναι δύναιτο.

π 1147 Περιεῖναι: ἐν βίῳ διάγειν, ζῆν. τότε μὲν οὕτως Ἰουστίνῳ περιεῖναι ξυνέβη. καὶ ἀντὶ τοῦ νικᾶν. ἐν δὲ τοῖς μάλιστα τὸν ἀδελφὸν αὐτοῦ Γάϊον οὐκ ἀνέξεσθαι περιεῖναι αὐτὸν δοῦλον τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολεμίων γεγονότα. οὐδὲ περιεῖναι τῶν πολεμίων οἷός τε ὤν, τῷ μὴ τὰ δέοντα ὑπὸ σμικρολογίας ἐργάζεσθαι.

π 1148 Περιεῖπον: περί τινα ἦσαν θεραπευτικῶς καὶ φυλακτικῶς.

π 1149 Περιεῖχεν: ὑπερεῖχε.

π 1150 Περιήγγελλεν: ἐκέλευεν.

π 1151 Περιηγγέλθη τὸ ἄθεον πρόσταγμα: Ἀττικώτερον δὲ τὸ περιηγγέλη.

π 1152 Περιηγεῖται: ἀντὶ τοῦ διηγεῖται. Αἰλιανός· αὐτὸς δὲ διυπνισθεὶς τῷ παιδὶ περιηγεῖται ἅ τε εἶδε καὶ ὅσα ἤκουσε καὶ ἅ τινα εἶπεν.

π 1153 Περιηγεῖτο: πανταχόσε περιήρχετο. πῦρ δὲ αὐτοῖς ὑπέφαινεν ἡ Σινωνὶς καὶ περιηγεῖτο.

π 1154 Περιημάκτεον: ἐδυσφόρουν. οἱ δὲ Φωκέες περιημάκτεον τῇ δουλοσύνῃ.

π 1155 Περιῆν: ἐνίκα, περιεγίνετο, ὑπῆρχεν.

π 1156 Περιηχήθην: περιεψιθυρίσθην.

π 1157 Περιηχῶ· αἰτιατικῇ.

π 1158 Περιιόντα: περιερχόμενον.

π 1159 Περιίπταμαι· αἰτιατικῇ.

π 1160 Περιιππεύων: περιτρέχων.

π 1161 Περιίσταμαι· αἰτιατικῇ. τοξότας αὐτὸν πάντοθεν περιίστησι. καί, περιίστανται πάντοθεν τὸ πανδοχεῖον.

π 1162 Περιιστάμενος: φεύγων. Ἰώσηπος περὶ Μωϋσέως· περιίστατο γάρ, μὴ πολλοὶ τῆς τῶν λόγων ἀσελγείας αὐτοῦ μιμηταὶ γένωνται.

π 1163 Περιίστασο: ἀντιλαβοῦ, περισκέπασον.

π 1164 Περιίστατο· τὸν ὄχλον γὰρ ἐκεῖνος ἀεὶ καὶ τοὺς θορύβους μάλιστα περιίστατο.

π 1165 Περίθετος: πρόσωπον. Ἀριστοφάνης· ἥδιον μὲν οὖν κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ. διαβάλλεται δὲ Ἀγάθων ἐπὶ μαλακίᾳ, ἵνα λανθάνῃ νυκτὸς ὡς γυνὴ καὶ πάσχῃ.

π 1166 Περίθου: ὅπερ ἡμῖν σύνηθες ἐπίθου λέγειν. Ἀριστοφάνης· περίθου νῦν τόνδε πρότερον, πρὶν λέγειν. ἀντὶ τοῦ στέφανον· ἔθος γὰρ ἦν τοῖς λέγουσι στεφανοῦσθαι πρῶτον.

π 1167 Περίθριξ: ὁ ἀπὸ γενετῆς πλόκαμος, ὁ μηδέπω καρείς. ἔτι πλοκάμοιο περίθριξ.

π 1168 Περιθοῖδαι: δῆμος τῆς Οἰνηΐδος φυλῆς. ἀπὸ Πειρίθου τοῦ Ἰξίονος. νόμος δ’ ἦν Ἀθήνησι ξένους εἰσδέχεσθαι τοὺς βουλομένους τῶν Ἑλλήνων· Θεσσαλοὺς δ’ ἐξαιρέτως ὑπεδέχοντο διὰ τὴν Πειρίθου καὶ Θησέως φιλοξενίαν. τούτοις δὲ καὶ χώραν ἐμέρισαν, ἣν ἐκάλεσαν Περιθοίδας. Ἔφορος ἱστορεῖ ἐν γʹ.

π 1169 Περικαθαίρων: ἀναλύων τὸν πεφαρμακευμένον, ἢ τὸν γεγοητευμένον.

π 1170 Περικάθημαι· αἰτιατικῇ.

π 1171 Περικακῶ: ἐκκακῶ.

π 1172 Περικαλλές: λίαν καλόν.

π 1173 Περικαῶς: ἐρωτικῶς. περικαῶς τῆς γυναικὸς ἔχων.

π 1174 Περίκειμαι τοῦ ἐπίκειμαι διαφέρει.

π 1175 Περικεκλασμένοις· ἐνέδραν εἶχεν ἐν τόποις περικεκλασμένοις καὶ δυσθεωρήτοις.

π 1176 Περικεφαλαία.

π 1177 Περίκηλα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1178 Περικλῆς, Ἀθηναίων στρατηγός· ζήτει ἐν τῷ δέον. ζήτει νόμον Περικλέους τοῦ Ξανθίππου ἐν τῷ δημοποίητος.

π 1179 Περικλῆς, Ἀθηναῖος. ἐπὶ τούτου ἤρξατο ὁ Πελοποννησιακὸς πόλεμος. ἐπὶ τούτου τὸ Κυλώνειον ἄγος ἠλαύνετο παρὰ Ἀθηναίων, ᾧ ἐνείχετο Περικλῆς· Κύλωνα γὰρ ἄνδρα Ἀθηναῖον, Ὀλύμπια νενικηκότα, γαμβρὸν Θεαγένους τοῦ Μεγαρέων τυράννου, ἐπιθέμενον τυραννίδι τῶν Ἀθηναίων, παραχρῆμα φυγόντα, καταφυγόντα δὲ ἐπὶ τὰς Σεμνὰς θεὰς ἀποσπάσαντες οἱ περὶ Περικλέα ἀπέκτειναν. οἱ δὲ ἀντεπέταττον. Περικλῆς δὲ οὐκ εἴα πείθεσθαι. ὃς ἦν Ξανθίππου παῖς, στρατηγοῦ Ἀθηναίων, Ἀναξαγόρου δ' ὁμιλητής. φασὶ δέ, ὅτι μέλλουσα τὸν Περικλέα τίκτειν ἡ μήτηρ ὄναρ εἶδεν ὡς λέοντα τέκοι. οὗτος κεραυνοῦ ποτε γενομένου καὶ θορυβηθέντων Ἀθηναίων, ὡς ἐξῄεσαν ἐς μάχην ὑπ' αὐτῷ στρατηγῷ, δύο λίθους συγκρούσας καὶ πῦρ ἐξ αὐτῶν ἐκκόψας, τοῦτο, εἶπεν, ἐστὶν ὁ κεραυνός. ἔγημε δὲ Ἀσπασίαν τὴν Μιλησίαν, ἐξ ἧς ἔσχε παῖδας Ξάνθιππον καὶ Πάραλον· ὃν παρὰ τὰ πάτρια ὠνόμασεν, ἥρωος ἐπιθεὶς ὄνομα, οὐκ ἐξόν.

π 1180 Περικλῆς, Ξανθίππου καὶ Ἀγαρίστης, Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός· ὅστις πρῶτος γραπτὸν λόγον ἐν δικαστηρίῳ εἶπε, τῶν πρὸ αὐτοῦ σχεδιαζόντων. ἦν δὲ μαθητὴς Ἀναξαγόρου τοῦ Κλαζομενίου· καὶ αὐτὸς ἐρύσατο αὐτὸν ἐκ θανάτου.

π 1181 Περικλῆς· οὗτος συμβουλεύεται Ἀθηναίοις, τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων· πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον. οὗτος ἐκέλευσεν Ἀθηναίοις, ἐμβαλόντων μὲν Λακεδαιμονίων εἰς τὴν Ἀττικήν, μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν· αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι, τὸ δὲ διὰ θαλάττης, τοῦτο ἡγεῖσθαι πόρον. ἄλλως· τὴν Περικλέους λέγει γνώμην, τὴν Ἀττικὴν ὡς πολεμίαν ἡγεῖσθαι καὶ ἐᾶν τέμνεσθαι, τὴν δὲ Λακωνικὴν περιπλεῦσαι. συνεβούλευσε δὲ περιπλεῖν τὴν πολεμίαν, μὴ μάχεσθαι δέ, τεμνομένης τῆς Ἀττικῆς. ἕνα πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν· τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τούτου γίνηται, τοῦτον ἄπορον νομίζειν, οἷον τὰ θεωρικὰ καὶ δικαστικὰ καὶ ἐκκλησιαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι. πρὸς ταύτην γὰρ τὴν ἔννοιαν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον· φησὶ γὰρ ὁ Διόνυσος· πλήν γε ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος. ὡς πολλῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν.

π 1182 Περικλυτός.

π 1183 Περικνημῖδας.

π 1184 Περικόμματ' ἐκ σοῦ κατασκευάσω: τὰ ἀπὸ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κόψω σου τὸ σῶμα.

π 1185 Περικόμψους· Ἀριστοφάνης· παῦσον ἡμῶν τὰς ὑπονοίας τὰς περικόμψους, αἷς στωμυλλόμεθ' εἰς ἀλλήλους. καὶ συγγνώμῃ τινὶ πραοτέρᾳ κέρασον τὸν νοῦν. στωμυλλόμεθα, ἀντὶ τοῦ φλυαροῦμεν.

π 1186 Περικοπή. Πολύβιος· ταύτην τὴν περικοπὴν ἐδωρήσατο τῇ τῆς Αἰμιλίας μητρί. τουτέστι τὴν ὕπαρξιν. καὶ αὖθις· ἅτε μηδεμίαν ἐχούσης πραγματικὴν ἔμφασιν τῆς περικοπῆς αὐτῶν. τουτέστι τῆς ἐνεργείας.

π 1187 Περικοπή: μέρος τι τῆς ὑποθέσεως. ὁ δὲ προῆγε, ποιήσας εὔστολον τὴν ἀκολουθίαν καὶ τὴν περικοπὴν τῆς ἐκδημίας.

π 1188 Περικόπτω· αἰτιατικῇ.

π 1189 Περικρεμῶ.

π 1190 Περικτίονος: τοῦ πέριξ οἰκοῦντος.

π 1191 Περιλακιζομένη: ἀντὶ τοῦ διασχιζομένη, διακοπτομένη.

π 1192 Περιλαλοῦσιν· αἰτιατικῇ. ἀντὶ τοῦ περιττολογοῦσι, φλυαροῦσι. τοῖς περιλαλοῦσι μὴ ταχέως συγκατατίθεσθαι.

π 1193 Περιλαμβάνω· αἰτιατικῇ.

π 1194 Περιλάμπω· αἰτιατικῇ.

π 1195 Περίλαος: ὄνομα κύριον.

π 1196 Περίλεξις: περίφρασις. λεληθότως δὲ δείκνυσιν ἐκ πόσων συνέστηκε ῥητορεία· δεῖ γὰρ πρῶτον νοῆσαι, εἶτα ἑρμηνεῦσαι τὸ νοηθέν· ὅπερ ἐστὶ λοιπὸν ἔργον τοῦ τῆς ἐξηγήσεως λόγου. καὶ κατάληψιν, ἤγουν τὴν αἴσθησιν καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα· κἀν τῇ τέχνῃ· οἷον ῥητορικὴ ἐστὶ τέχνη τοῦ εὖ λέγειν τὰ προβλήματα. διὰ τί τέχνη; σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων.

π 1197 Περιλέποντες: τὸν φλοιὸν περιαιροῦντες. Ἡρόδοτος· τῶν δενδρέων τὸν φλοιὸν περιλέποντες καὶ ἐσθίοντες.

π 1198 Περιλιχμώμενος: κατασπαζόμενος. ὁ δὲ τὴν γυναῖκα πολὺν χρόνον περιλιχμώμενος καὶ τοὺς πόδας είλούμενος συνέπεισεν ἄνδρα νομίσαι.

π 1199 Περίλλος· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον.

π 1200 Περὶ λύχνων ἁφάς: ὀψιαίτερον. μικρὸν δὲ μετὰ λύχνων ἁφὰς ἄρτι ἐς θοίνην ἰόντων, ἐπιπεσόντες ἀδόκητοι τῶν πολεμίων πολλοὺς κτείνουσι.

π 1201 Περιμάνως καὶ Μανέρως: ὀνόματα ᾠδῆς. Εὔβουλος Καμπυλίωνι.

π 1202 Περιμένω· αἰτιατικῇ.

π 1203 Περίνεως: τοὺς περιττοὺς τῇ νηῒ ἐπιβάτας, οἷον δούλους.

π 1204 Περίνεως: τοὺς περιττοὺς καὶ ἔξω τῶν ὑπηρεσιῶν, ὡς λειπόνεως, τοὺς λειποτάκτας. Θουκυδίδης. τοὺς δὲ περίνεως (πολλοὶ γὰρ φθειρομένων ἐν τῇ ναυαγίᾳ τῶν σκαφῶν ἀπεκολύμβησαν), οὓς ἐς τὸ ναυτικὸν ὀλιγανδροῦν κατέταξεν. οἱ δὲ ναῦται καὶ ὅσοι περίνεοι οὐκ ἀνεξόμενοι δῆλοι ἦσαν.

π 1205 Περίνη: πόλις.

π 1206 Περινήσαντες: περισωρεύσαντες. οἱ δὲ βάρβαροι πολὺ περινήσαντες πῦρ συνέφλεξαν ἅπαντας.

π 1207 Περινθίοις· τούτοις ἑαλωθὲν τὸ Βυζάντιον δῶρον ἐδόθη εἰς δουλείαν παρὰ Σεβήρου τοῦ Ῥωμαίων βασιλέως, ὥσπερ καὶ ἡ Ἀντιόχεια Λαοδικεῦσι.

π 1208 Περινοεῖ: νοεῖ περισσῶς.

π 1209 Περινοστοῦντας: περιερχομένους. νόστος κυρίως μὲν ἡ ἀπὸ ἀλλοδαπῆς οἴκαδε ἄφιξις, καταχρηστικῶς δὲ καὶ ἡ ἀπὸ τόπου εἰς τόπον. Ἀριστοφάνης Πλούτῳ· ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ.

π 1210 Περίνοια: ὑπερηφανία ἢ μηχανὴ ἢ τέχνη.

π 1211 Πέριξ.

π 1212 Περιοδεία: ἡ περιόδευσις.

π 1213 Περίοδος: περιέλευσις, κύκλος. Ἡρόδοτος· οἱ δὲ Σπαρτιῆται μαθόντες ἐκ τῶν αὐτομόλων τῶν Περσέων τὴν περίοδον ἐβουλεύοντο, καὶ ἐσχίζοντο αὐτῶν αἱ γνῶμαι.

π 1214

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Περίοδος· Δημοσθένης Φιλιππικοῖς. περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα καὶ αὖθις ἐπιγινόμενα, οἷον τριταίους, τεταρταίους καὶ τὰ ὅμοια. καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲ νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι.

π 1215 Περιόν: ὑπερβάλλον. τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι [προῖκα] πεπορισμένας ἔχοντες ἐκ τοῦ περιόντος καρπώσονται.

π 1216 Περὶ ὄνου σκιᾶς: παροιμιακόν. περὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις. Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς· Δημοσθένης Φιλιππικοῖς. Δίδυμός φησι τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος, λέγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς· λέγεσθαι δὲ αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις.

π 1217 Περιόντας: ζῶντας. Ἀγαθίας· καὶ ἔλεγον παρέξειν αὐτῷ ἐς ὅ τι βούλοιτο χρῆσθαι, εἴγε τοὺς ὁμήρους ἴδοιεν περιόντας.

π 1218 Περίοπτον: περιθέατον, μέγα, ὑψηλόν, περίβλεπτον.

π 1219 Περιορᾶσθαι: καραδοκεῖν, ἀποθεωρεῖν, περισκέπτεσθαι, φροντίζειν. Θουκυδίδης· καὶ τοὺς Μεγαρέας ... περιορωμένους τὸν πόλεμον, λέγει. καί, ὁ Βρασίδας τῆς μάχης περιορώμενος. οἱ δὲ πρὸς τῷ ποταμῷ κατέμειναν περιορώμενοι τὸ γενησόμενον. τουτέστι καραδοκοῦντες, προσδοκῶντες.

π 1220 Περιοργής: ὠργισμένος. ὁ δὲ Καῖσαρ περιοργὴς ἐπὶ τούτοις γενόμενος ἐκίνει τὸ στράτευμα.

π 1221 Περιορίσαι: περινοῆσαι.

π 1222 Περιορισθῆναι: γνωρισθῆναι· ἢ ὑπὸ ὅρον γενέσθαι.

π 1223 Περιορισμός: ἐξορισμός.

π 1224 Περιορῶ· αἰτιατικῇ.

π 1225 Περιουσία: ἡ περιττὴ οὐσία, οὐσία δὲ ἡ σύμμετρος. ἐκ περιουσίας δὲ τοῦ ἀναγκαίου διαφέρει. ἀναγκαῖα μὲν οὖν ἐστιν, ὧν χωρὶς ἀδύνατον εἶναι, ἐκ περιουσίας δέ, ὧν ἡ παρουσία οὐκ οὖσα ἀναγκαία, καί, ὡς Ἀριστοτέλης λέγει, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων, ἄλλα τινὰ προσκατασκευάζηται τῶν καλῶν. οἷον, τὸ μὲν ζῆν ἀναγκαῖον, ἐκ περιουσίας δὲ τὸ εὖ ζῆν· τῇ γὰρ τοῦ εὖ παρουσίᾳ, οὐκ οὔσῃ πρὸς τὸ εἶναι ἀναγκαίᾳ, ἐπικοσμεῖται τὸ ζῆν ἀναγκαῖον ὄν.

π 1226 Περιουσίας: πλήθους, πλούτου.

π 1227 Περιουσιασμός: πλῆθος, ὕπαρξις φυσική.

π 1228 Περιούσιος λαός: ὁ ἔγκτητος. καί, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. ἀντὶ τοῦ εἰς κτῆμα καὶ εἰς κτῆσιν· οὐσίαν γὰρ τὴν ὕπαρξιν.

π 1229 Περιοχή: περιπέτεια καὶ ὑπόθεσις, θλίψις, συνοχή. καὶ ὁ Δαβίδ· ἐν πόλει περιοχῆς. τουτέστι περιβόλῳ.

π 1230 Περιπαθῶς: συμπαθῶς, λυπηρῶς. Πολύβιος· μήθ' ἑαυτὸν ῥίψαι κατὰ κρημνοῦ περιπαθὴς γενόμενος.

π 1231 Περιόψεται: περιΐδῃ, καταφρονήσει.

π 1232 Περιωδυνίαν: ἀλγηδόνα, καὶ περιττὴν ὀδύνην.

π 1233 Περιωπή: ἀκρώρεια, ὑψηλὸς τόπος.

π 1234 Περιωπὴ καὶ Πίσυνοι καὶ Πύστεις. πάντα ταῦτα γλωττώδη παρὰ Θουκυδίδῃ. καλεῖ δὲ περιωπὴν τὴν φροντίδα καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον, ὡς Ὅμηρος. καὶ Ἀγαθίας δὲ τὴν περίσκεψιν λέγει· ὁ δὲ Ναρσῆς ἧστο ἐς ὑπερῷόν τι δωμάτιον, ἐν περιωπῇ τοῦ πεδίου. τουτέστιν ἐν περισκέψει. καὶ Σιμόκατος· καὶ οὖν ᾄττουσι πρὸς τὰ ὑψηλὰ καὶ περισκοποῦσιν ἔκ τινος μεγίστης περιωπῆς, καὶ τὸ πολέμιον ἀφανές.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1235 Περιωρίσθαι.

π 1236 Περιώσας: ὠθήσας.

π 1237 Περιώσιον.

π 1238 Περὶ παντὸς ἐποιεῖτο: ἀντὶ τοῦ ἔσπευδεν. ὁ δὲ Κῦρος τοὺς δικαίους περὶ παντὸς ἐποιεῖτο πλουσίους ποιεῖν.

π 1239 Περιπαρῆναι: περικεντηθῆναι. οἱ δὲ Ῥωμαῖοι κοντοὺς ἔπηξαν ὑποβρυχίους, ὥστε τὰ σκάφη τῶν βαρβάρων ἐλθόντα περιπαρῆναι.

π 1240 Περιπεταστὸν κἀπιμανδαλωτόν: εἴδη φιλημάτων ἐρωτικῶν, ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν.

π 1241 Περιπετές: περιπεπηγὸς αὐτῷ. πηκτὸν τόδ’ ἔγχος περιπετὲς κατηγορεῖ. ᾗ ᾧ περιέπεσεν ὁ Αἴας.

π 1242 Περιπέτεια: προπέτεια, ἢ σύμπτωμα, ἢ σύμβασις. πάντα δ’ ἦν πλήρη ἀρχομένης φαρμακείας τῶν ῥιπτούντων ἑαυτοὺς εἰς τὰ φρέατα καὶ κατὰ κρημνῶν, ὥστε κατὰ τὴν παροιμίαν κἂν ἐχθρὸν ἐλεῆσαι θεασάμενον τὴν τότε περιπέτειαν τοῦ ἀνθρώπου. τῶν καθ’ αὐτὸν δυναστειῶν ἐφάμιλλον ἐποίησε τὴν ἀρχὴν, οὐ τύχῃ τὸ πλεῖον συνεργῷ χρώμενος, οὐδὲ ἐκ περιπετείας, ἀλλ’ ἀγχινοίας καὶ φιλοπονίας, ἔτι δὲ καὶ πράξεως τῆς αὐτοῦ. τὸ δὲ περιπέττειν ἤτοι ἀπὸ τοῦ περιπετάσματος εἴρηται, ἢ ἀπὸ τῶν ζύμῃ τὰ ἄλφιτα περιλαμβανόντων καὶ τούτοις περικαλυπτόντων τινά· εἰώθασι γὰρ τὰ καταλιμπανόμενα ἀφ’ ἑκάστου ἄρτου μιγνύντες ποιεῖν ἄρτον.

π 1243 Περιπετεῖς: περιπίπτοντες. ἀλλήλοις περιπετεῖς γινόμενοι ἀπώλλυντο. καὶ αὖθις· περιπετεῖς γίνονται βοτάνῃ τινὶ θανασίμῳ. ἀντὶ τοῦ ἀκουσίως περιπίπτοντες.

π 1244 Περιπετῆ γενέσθαι: περιπεπτωκέναι. πλήρη.

π 1245 Περιπέττουσι: περικαλύπτουσιν. Ἀριστοφάνης Πλούτῳ· ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν. τουτέστιν εἰώθασι τῷ τοῦ ἵππου ὀνόματι καταχρῆσθαι εἰς τὴν μοχθηρίαν. καὶ Μένανδρος· δεδιότες καὶ διανοούμενοι μηχανᾶσθαί τι Ῥωμαίους καὶ προκαλύμματι ἀποδράσεως περιπέττειν ὅ τι ἂν εἴη αὐτοῖς τὸ πανούργημα. τουτέστι περικαλύπτειν.

π 1246 Περιπεφθείς· τούτοις τοῖς ῥηματίοις περιπεφθεὶς ἄρχειν αἱρῇ σαυτοῦ.

π 1247 Περιπείρει: περικεντεῖ.

π 1248 Περιπηχύναντες: περιπλεξάμενοι. παρὰ Καλλιμάχῳ.

π 1249 Περιπίπτω· δοτικῇ.

π 1250 Περιπλακῆναι· λύσις ὀνείρου· μητρὶ πλακῆναι καλὸν εἰς ὄναρ τόδε. εὔχρηστον ἀνδρὶ συμπλακῆναι φιλτάτῳ· πᾶσαί τε μίξεις πρόξενοι μακρῶν πόθων.

π 1251 Περιπλεγνύμενος καὶ φιλῶν: ἀντὶ τοῦ περιπλεκόμενος.

π 1252 Περίπλεων: πλήρη. καὶ Περίπλεως.

π 1253 Περιπλεῖν καὶ διεκπλεῖν διαφέρει παρὰ Θουκυδίδῃ· τὸ μὲν γὰρ περιπλεῖν ἐν τῇ εὐρυχωρίᾳ καθίστασθαι, οἷον χορευούσης καὶ ἀναστρεφομένης ἐφ’ ὅπερ βούλεται τῆς νεώς. καὶ ἡ περι πρόθεσις αὐτὸ τοῦτο δηλοῖ, τὸ ἐν κύκλῳ περιθέειν. τὸ δὲ διεκπλεῖν, τὸ τεμόντα τὴν τάξιν τῶν ἐναντίων εἰς τοὐπίσω γενέσθαι.

π 1254 Περιπλείονος: ἐπίρρημα. καὶ Περιπλείστου. περιπλείστου τὰς τρίχας ποιούμενος, ἐναλείφειν τε αὐτὰς καὶ διατιθέναι κατὰ βοστρύχους.

π 1255 Περὶ πλήθουσαν ἀγοράν: περὶ ὥραν τετάρτην ἢ πέμπτην καὶ ἕκτην· τότε γὰρ μάλιστα πλήθει ἡ ἀγορά. πεδίον ἦν ἀχανές· ἔνθα περὶ πλήθουσαν ἀγορὰν ἠγείροντο μέν τινες καὶ πρότερον θόρυβοι τῶν πολεμίων, ἐπιφερόμενοι ἄριστον αἱρουμένοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1256 Περιπνευμονία: πάθος τι.

π 1257 Περιπνέω· λεπτὴ δέ τις αὖρα περιέπνει τούτους.

π 1258 Περὶ πόδα: οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσί. Πλάτων· ὡς ἐστί μοι τὸ χρῆμα τοῦτο περὶ πόδα. καὶ ἐν Σκευαῖς· καὶ τοῖς τρόποις ἁρμόττον ὡς περὶ πόδα.

π 1259 Περίπολος· Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων οὕτως φησί· τὸν δεύτερον ἐνιαυτόν, ἐκκλησίας ἐν τῷ θεάτρῳ γινομένης, λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου, περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις. παρατηρητέον δέ, ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο.

π 1260 Περιπόλους: τοὺς φύλακας, ἢ ζητητάς. ἀπὸ τοῦ περιπολεῖν. Ἀριστοφάνης Ὄρνισιν· οὐκοῦν δῆτα περιπόλους ἐχρῆν πέμψαι; τὸ δὲ ἑξῆς, οὐκ ἐχρῆν περιπόλους πέμψαι; Θουκυδίδης· οἱ δὲ καὶ οἱ περίπολοι ἐνήδρευσαν.

π 1261 Περιπόλων: φυλάκων, ζητητῶν. τῶν δὲ περιπόλων τις περιθέων ἀποβάλλει χαλκῆν ἀσπίδα ὕπερθεν τοῦ ὀρύγματος. ἡ δὲ οὖσα μὲν πλατεῖα, ἀλλὰ κυρτή, οὐ στερεὸν ἐκτύπησεν, ἀλλὰ κοῖλον καὶ διάκοιλον. τάχα διάκενον.

π 1262 Περὶ πολλοῦ ποιοῦ: τίμα, θεράπευε.

π 1263 Περιπολῶν: περιτρέχων. ὁ δὲ σταυρὸς προηγεῖτο τοῦ τε βασιλέως καὶ τῆς περιπόλου δυνάμεως. φησὶ Σιμόκατος.

π 1264 Περίπτερα: ἀποσπινθηρισμοί.

π 1265 Περίπτερον: πανταχόθεν ἐξέχον.

π 1266 Περιπτώσεις: συμφοράς.

π 1267 Περιπτύσσεται· αἰτιατικῇ. περιβάλλεται. εἶτα τὴν Θεοδοσίου πόλιν περιπτύσσεται καὶ ἀναμίγνυται τοῖς περὶ Φιλιππικόν.

π 1268 Περιπτυχής: περικεκυλισμένος. κεῖται κρυφαίῳ φασγάνῳ περιπτυχής. περὶ τοῦ Αἴαντός φησι.

π 1269 Περιποιήσει: κτήσεται. καί, Περιποιουμένους τῆς σωτηρίας τῶν παίδων· περιποιουμένους ἀντὶ τοῦ φροντίζοντας, κηδομένους. Διονύσιος ὁ Ἁλικαρνασεύς.

π 1270 Περιποίησιν: κτῆσιν.

π 1271 Περιποιοῦμαι· αἰτιατικῇ.

π 1272 Περίπυστον: ἐξάκουστον, διαβόητον.

π 1273 Περιρραντήρια: σκεύη. κατὰ δὲ τὸ μέσον τοῦ ἐνδιαιτήματος κάλπεις τε χρυσαῖ καὶ περιρραντήρια ἔτι τε πίθοι χρυσοῖ.

π 1274 Περιρραντίσαι.

π 1275 Περιρρέω· αἰτιατικῇ.

π 1276 Περιρηδεῖς: οἱ ἐπὶ ὀχημάτων, ἢ ἐπικείμενοι, ἢ οἱ ἐρριμμένοι.

π 1277 Περιρρῶγος· ἐπὶ ὄχθου τινὸς ἀποτόμου καὶ περιρρῶγος ἐπετείχιζον αὐτοῖς φρούριον, ἱκανὸν φυλάττεσθαι τοσαύτῃ στρατιᾷ.

π 1278 Περισσά: τὰ ἐν τῇ ἀριθμητικῇ καλούμενα ἄζυγα οἷον ἕν, τρία καὶ τὰ ὅμοια. ἄρτια δὲ τὰ ζυγά, οἷον δύο, τέσσαρα. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες, καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με, μήθ’ ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων ἀντλεῖ, τὰ δ’ ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην. χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος. ἀφαιρεῖται γάρ, φησί, τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν λόγων ἀδολεσχία. Ὀρέστης φησὶ πρὸς Ἠλέκτραν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1279 Περισσεία.

π 1280 Περίσημα: διαβόητα.

π 1281 Περισκελές: σκληρόν, δυσχερές. Αἴας φησίν· ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται· κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται χὠ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες. κἀγὼ γάρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε, βαφῇ σίδηρος ὥς, ἐθηλύνθην στόμα πρὸς τῆσδε τῆς γυναικός.

π 1282 Περισκελῆ: βρακία, φημινάλια.

π 1283 Περισκέλια: ἃ ἐφόρουν οἱ Ῥωμαῖοι περὶ τὰ σκέλη. ἦσαν δὲ κροκοβαφῆ. περικαταθέμενοι δὲ περισκέλια τοῖς αὐτοῖς ποσί.

π 1284 Περισκεπές: κεκαλυμμένον.

π 1285 Περίσκεπτον: ἀφ' οὗ ἐστι περισκοπῆσαι καὶ ἰδεῖν.

π 1286 Περισκυθίσαντες: σπαράξαντες.

π 1287 Περισκυτίζοντος: ἐκδερματίζοντος.

π 1288 Περισσοεπῆσαι: περισσολογῆσαι.

π 1289 Περισσῶς ποιοῦσιν ὑπερηφανίαν: τουτέστιν ἀλαζονείᾳ χρωμένοις περισσότερον.

π 1290 Περισπᾶν: ἐξαπατᾶν. καὶ τὸ μετὰ βίας ἀφαιρεῖσθαί τι. Περισπᾷ δὲ παρὰ Σοφοκλεῖ ἀντὶ τοῦ φυλαξάμενος αὐτοῖς συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν περισπᾷ· τουτέστι τοῖς ἡνιόχοις. Πολύβιος· ἦν δὲ τοῖς Ῥωμαίοις πρόθεσις ἐς Λιβύην πλεῖν καὶ τὸν πόλεμον ἐκεῖ περισπᾶν.

π 1291 Περισπασμός: ἐκ δυοῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. ἐκπερισπασμὸς δέ ἐστιν ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίγνηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν· ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν.

π 1292 Περισπερχές: βαρύ. ὡς περισπερχὲς πάθος.

π 1293 Περισπειραθείς: περιπλακείς, περιελιχθείς. ὁ δὲ εὐνοῦχος κατεκράτει τῶν βασιλείων καὶ περισπειρασάμενος τὰς αὐλὰς συνέσφιγγεν ἅπαντα, καθάπερ τις γενναῖος ὄφις καθελίττων εἰς τὴν ἑαυτοῦ χρείαν. περὶ Εὐτροπίου λέγει.

π 1294 Περισταδόν: περιεστῶτες.

π 1295 Περίστασις. Πολύβιος· συνέβαινε δὲ μεγαλομερῆ τὴν περίστασιν ἔχειν ἐν ταῖς γυναικείαις ἐξόδοις. καὶ αὖθις· ὁ δὲ κατὰ μὲν τὴν δόξαν καὶ τὴν τοῦ βίου περίστασιν οὐδενὸς δεύτερος Ἰβήρων, κατὰ δὲ τὴν πρὸς Καρχηδόνα εὔνοιαν καὶ πίστιν πολύ τι διαφέρειν δοκῶν τῶν ἄλλων. ἀντὶ τοῦ ἐπίτασις. καὶ αὖθις Πολύβιος· ταχὺ δὲ διὰ τὴν περίστασιν τῶν τοῦ Ξανθίππου λόγων διαδοθέντων εἰς τὰ πλήθη καὶ τοὺς στρατηγούς, ἔγνωσαν οἱ στρατηγοὶ ἀνακαλεῖσθαι καὶ πεῖραν αὐτοῦ λαμβάνειν. καὶ ἀλλαχοῦ· διὰ δὲ τὴν περίστασιν τοῦ κήρυκος φωνήσαντος ἀνέστη. ἀντὶ τοῦ ἐπίτασιν.

π 1296 Περίστασιν· Δείναρχος Τυρρηνικῷ· μετὰ ταῦτα τοῦ Δάμωνος ἤδη περὶ ἀγωγὴν ὄντος, περίστασιν ποιήσουσιν· οὗ καὶ μαρτυρεῖν ἀξιοῦντος, καὶ τὰ ἑξῆς. μήποτε τοιοῦτόν ἐστι τὸ λεγόμενον, ἐν κύκλῳ περιέστη μὲν αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον· ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τό, περίστατον μετεποίησαν. ἐνίοις δὲ παράστασιν ἀντὶ τοῦ περίστασιν γράφεται.

π 1297 Περίστατοι· Ἰσοκράτης ἐν τῷ Περὶ τῆς ἀντιδόσεως· θαυματοποιΐαις ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γινομέναις. ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι.

π 1298 Περιστέλλω· αἰτιατικῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1299 Περιστένεται: περιτείνεται, στενοχωρεῖται.

π 1300 Περίστενος: οὗτος δράκων καλεῖται.

π 1301 Λύσις ὀνείρου· Περιστερὰς βλέπειν τε προξενεῖ βλάβην.

π 1302 Περιστεριδεῖς: ὥσπερ ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς, οὕτως καὶ ἀπὸ τῆς περιστερᾶς περιστεριδεῖς.

π 1303 Περιστεῖλαι: περικαλύψαι. ὁ δὲ τὸ σῶμα τούτου περιστείλας πέπλοις σηρικοῖς καὶ τεκτηνάμενος σῆμα ἐν αὐτῷ κατέθετο. ὅσα ἡμαρτῆσθαι τοῖς γειναμένοις ξυμβαίνει, περιστέλλειν τε καὶ κρατύνεσθαι. ἀντὶ τοῦ περικαλύπτειν.

π 1304 Περιστείλας: διαχειρισάμενος, περισφίγξας ἐν τῇ γῇ. Σοφοκλῆς· ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγώ.

π 1305 Περιστεφανωσάντων: κυκλωσάντων. περιστεφανωσάντων τοῖς ὄχλοις τὸ τεῖχος.

π 1306 Περιστίαρχος: ὁ περικαθαίρων τὴν ἑστίαν καὶ τὴν ἐκκλησίαν καὶ τὴν πόλιν. ἀπὸ τῆς ἑστίας ἢ τοῦ περιστείχειν. Ἴστρος δὲ ἐν τοῖς Ἀττικοῖς, περίστια, φησί, προσαγορεύεται τὰ καθάρσια, καὶ οἱ τὰ ἱερὰ καθαίροντες περιστίαρχοι· ἔξωθεν γὰρ περιέρχονται, μαχαιροφοροῦντος ἑκάστου τῶν ἱερῶν οἰκίαις περιειλημμένοι δημοσίαις καὶ περίδρομον ἔχοντες.

π 1307 Περιστίαρχος: ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις· περίστια γὰρ τὰ καθάρσια.

π 1308 Περιστίξαι: περικυκλῶσαι, περιελθεῖν, περιελάσαι. ἀπὸ τοῦ στίχου.

π 1309 Περιστολή: περιβολή, ἐπαγωγή.

π 1310 Περίστῳον: περίστυλον στοὰς ἔχον.

π 1311 Περιστοιχίζεται· Δημοσθένης ἐν Φιλιππικοῖς· μέλλοντας ἡμᾶς, φησί, καὶ καθημένους περιστοιχίζεται. ἐκ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους ἢ στόχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵνα ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. ἔνια μέντοι τῶν ἀντιγράφων περιστοιχίζεται ἔχει, ἄλλα δὲ περισχοινίζεται.

π 1312 Περιστοιχίσαντος: περιλαβόντος.

π 1313 Περιστοῖχον· Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον· φυτευτήρια ἐλαῶν περιστοίχων κατέκλασε. Δίδυμος δέ τι γένος ἐλαῶν περιστοίχους καλεῖ, ἃς Φιλόχορος στοιχάδας προσηγόρευσε. μήποτε δὲ νῦν ὁ ῥήτωρ περιστοίχους κέκληκε τῶν κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότων.

π 1314 Περισυλᾷ: ἀφαιρεῖται. ὁ δὲ ἀποκτείνει αὐτοὺς καὶ περισυλᾷ, ὅσα ἐπηγάγοντο. ἦν δὲ κόσμος καὶ σκεύη περὶ τὴν τέχνην τὴν ἑκατέρου οὐδαμῇ εὐκαταφρόνητα.

π 1315 Περισφίγγω· αἰτιατικῇ.

π 1316 Περισφύριον· καὶ τὸ διθύρεον τοῦτο τὸ λογχωτὸν καὶ τὸ περισφύριον.

π 1317 Περισχέσθαι: ἀγαπῆσαι.

π 1318 Περισχών: κατασχών, περιβαλών.

π 1319 Περιτελλομένων: περιερχομένων.

π 1320 Περιτέμνω· αἰτιατικῇ.

π 1321 Περιτεύξεται: συντύχῃ, περιπεσεῖται.

π 1322 Περιτεχνᾶσθαι: δολιεύεσθαι, κακὰ μηχανᾶσθαι. τὴν γὰρ διάνοιαν αὐτοῦ σαφῶς εἰδότες καὶ περιτεχνᾶσθαί τι τοιοῦτον νομίσαντες οὐχ οἷς ἐκεῖνος εἶπε προσέσχον, ἀλλ' οἷς αὐτοὶ ὑπώπτευον.

π 1323 Περιτιθῶ· αἰτιατικῇ.

π 1324 Περίτιος: μήν, ὁ Φεβρουάριος κατὰ Μακεδόνας.

π 1325 Περιτομή· ἡ περιτομὴ τοῖς Ἰουδαίοις διὰ τρεῖς αἰτίας ἐδόθη. ὥστε σημεῖον εἶναι πίστεως, καὶ τοῦ Ἀβραμιαίου γένους δηλωτικὸν καὶ σύμβολον, καὶ αἴνιγμα πολιτείας καθαρᾶς καὶ σώφρονος. ὥστε οὐχ ὡς δικαιοσύνης ποιητικὴ ἐδόθη, ἀλλὰ σφραγὶς καὶ σημεῖον τῆς ἐκ πίστεως δικαιοσύνης τοῦ Ἀβραάμ.

π 1326 Περιττός: ἀντὶ τοῦ πολύς. Σαλούστιος, ὁ τῆς αὐλῆς ἔπαρχος, ἀνὴρ ἦν διαφερόντως περιττὸς εἰς φιλανθρωπίαν.

π 1327 Περιττότερα: μείζονα. τὰ δὲ λεγόμενα χρυσᾶ μῆλα τῶν Ἑσπερίδων οὐ χρυσᾶ ἦσαν, ἀλλὰ περιττότερα τῶν ἄλλων.

π 1328 Περιτράγῃ: περικόψει, περιφάγῃ. ἀντὶ τοῦ κλέψει. Ἀριστοφάνης· κἀν τὤχλῳ φυλάττεσθαι σφόδρα, μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.

π 1329 Περιτρέπω· αἰτιατικῇ.

π 1330 Περιτροπῇ: ἐν περιόδῳ. τῆς νυκτὸς τὸν καιρόν, ἐς ὃν τοῖς Ἰσαύροις ἡ φυλακὴ τοῦ τείχους, ὕπνον ἐκ περιτροπῆς τῶν ἄλλων αἱρουμένων, ἐνέβαλε.

π 1331 Περιτροπέων· ἀπερίτροπος λέγεται ὁ ἀνεπίστροφος. οὔτε γὰρ Ἀγαμεμνονίδης παῖς ἀνεπίτροπος οὔθ’ ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων. ἀπὸ κοινοῦ τὸ ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν, ἀλλ’ ἔχει ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖται. ἢ ἀνεπέλευστος· ἔνθεν καὶ τὸ περιτροπέων ἐνιαυτός.

π 1332 Περιοίκιον· Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην· καὶ τὸ περιοίκιον καὶ τὴν οἰκίαν. μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον.

π 1333 Περίοικοι καὶ Ἀμφικτύονες· ζήτει ἐν τῷ Ἀμφικτύονες.

π 1334 Περίοικος: ὁ περὶ τὴν οἰκίαν, ἢ τὴν ἔπαυλιν τόπος.

π 1335 Περιοίσειν: τὸ περιέσεσθαι καὶ ἀνθέξειν. Θουκυδίδης ζʹ. σημαίνει καὶ τὸ ἀνοίσειν ἐκ τῆς νόσου.

π 1336 Περιοιστικός: φορητός.

π 1337 Περιφάνεια.

π 1338 Περίφασις· Πολύβιος· ἐκέλευσε διασαφεῖν αὐτῷ πάντα τὰ γινόμενα διὰ τῶν πυρσῶν ἐπὶ τὸ Τίσαιον· ἔστι δὲ τῆς Θετταλίας ὄρος, εὐφυῶς κείμενον πρὸς τὰς τῶν προειρημένων τόπων περιφάσεις.

π 1339 Περιφερές: κύκλῳ, στρογγύλον.

π 1340 Περιφορά: κίνησις.

π 1341 Περιφόρητα: ἀκτά. Ἡρόδοτος.

π 1342 Περιφοριῶσθαι· Λυσίας· ἢ τῶν ὀφθαλμῶν τὸν ἕτερον γλαυκότερον εἶναι ἢ περιφοριῶσθαι. ἐπὶ τοῦ ἀποκεκλιμένου Εὐφορίων κέχρηται τῷ ὀνόματι. εἰσὶ δέ τινες ὀφθαλμοὶ κεχαλασμένα τὰ βλέφαρα ἔχοντες καὶ οἱονεὶ μύοντες. ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορόνης· τάττουσι γὰρ ἐπὶ ἀνθρώπων τὴν φορόνην.

π 1343 Περιφώσαντες: σκεπάσαντες, πωμάσαντες. πλῆθος δὲ θηρίων ἀθροίσαντες ἱκανὸν ἐς χύτρας καινὰς ἐνέβαλλον καὶ περιφώσαντες αὐτὰς εἶχον ἐν ἑτοίμῳ πρὸς τὴν χρείαν.

π 1344 Περιφρονεῖν: ὑπερφρονεῖν. Ἀριστοφάνης δέ· περιφρόνει τὰ πράγματα· ἀντὶ τοῦ ἐρεύνα, ἀναζήτει. καὶ Σωκράτης ἔφη· ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, ἵνα μὴ ἕλκῃ τὴν ἰκμάδ’ ἐς τὰ κάρδαμα.

π 1345 Περίφρων: περισσόφρων.

π 1346 Περιφοιτῶντα: περιερχόμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1347 Περιφύς: περιπλακείς.

π 1348 Περιχυθέντες· δοτικῇ.

π 1349 Περιχαίνω· αἰτιατικῇ. οἷόν τι ποιοῦσιν οἱ κύνες, τοὺς λίθους, οἷς βάλλονται, περιχαίνοντες.

π 1350 Περιχάρεια: ἡ χαρά.

π 1351 Περιχαρίαν: περιττὴν χαράν.

π 1352 Περιχαίρω· δοτικῇ. περιχάρηθι τῷ ἀγαθῷ.

π 1353 Περιχλαινίζεται: περιβάλλεται.

π 1354 Περιψεῖν: ἐκμάσσειν, σπογγίζειν. Ἀριστοφάνης· ἰδού, δέχου κέρκον λαγώ, ὥστε τὰς λήμας περιψεῖν.

π 1355 Περίψημα: κάταγμα· ἢ ὑπὸ τὰ ἴχνη· ἢ ἀπολύτρωσις. οὕτως ἐπέλεγον τῷ κατ’ ἐνιαυτόν .... συνεχόντων κακῶν· περίψημα ἡμῶν γενοῦ. ἤτοι σωτηρία καὶ ἀπολύτρωσις· καὶ οὕτως ἐνέβαλλον τῇ θαλάσσῃ, ὡσανεὶ τῷ Ποσειδῶνι θυσίαν ἀποτιννύντες.

π 1356 Περκάζει: πεπαίνει, μελανίζει.

π 1357 Περκνός: μέλας.

π 1358 Περκώσιον: τόπος. καὶ Περκώτη, ὄνομα τόπου.

π 1359 Περνᾶται: πιπράσκεται. ἔνθεν καὶ πόρνη, ἡ πωλοῦσα τὴν μίξιν· ἢ παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν.

π 1360 Περόζης: ὁ Περσῶν βασιλεύς.

π 1361 Περόνη: πόρπη. καὶ δίβολον περόνην καὶ στεγίδα τανυσθὲν τόξον. ὅτι αὐλὸς ὁ εἰς εὐθὺ ἐξακοντισμὸς τοῦ αἵματος, ὁ δὲ περόνης μέτρον καὶ μουσικῆς τι ὄργανον.

π 1362 Περόνη: κόσμος τις. καὶ περόναις χρυσαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι.

π 1363 Περῶ, περαίω, περαιῶ. ὡς μῶ, μαίω, μαιῶ.

π 1364 Περῶνος.

π 1365 Περπερεία: ἡ κολακεία. ἡ ἀγάπη οὐ περπερεύεται. ὁ ἀπόστολος Παῦλός φησι. τουτέστιν οὐ προπετεῖ.

π 1366 Πέρπερος: ὁ μετὰ βλακείας ἐπηρμένος· οἷον λάλος, προπετής, μηδὲν λογισμῷ ποιῶν.

π 1367 Πέρσαι· ὅτι ἡ μαγεία καὶ ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο· οἱ γάρ τοι Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. καὶ Μαγουσαῖοι οἱ αὐτοί.

π 1368 Περσαῖος, Κιτιεύς, φιλόσοφος Στωϊκός· ἐπεκλήθη δὲ καὶ Δωρόθεος. ἦν δὲ ἐπὶ τῶν χρόνων Ἀντιγόνου τοῦ Γονατᾶ υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου. Ἱστορίαν.

π 1369 Περσέα: ῥοδακινέα.

π 1370 Περσεύς· οὗτος ἀνανεωσάμενος τὴν πρὸς Ῥωμαίους φιλίαν εὐθέως ἑλληνοκοπεῖν ἐπεβάλετο, κατακαλῶν εἰς τὴν Μακεδονίαν καὶ τοὺς τὰ χρέα φεύγοντας καὶ τοὺς πρὸς καταδίκας ἐκπεπτωκότας καὶ τοὺς ἐπὶ βασιλικοῖς ἐγκλήμασι παρακεχωρηκότας. καὶ τούτων ἐξετίθει προγραφὰς εἴς τε Δῆλον καὶ Δελφούς, διδοὺς οὐ μόνον τὴν ἀσφάλειαν τοῖς καταπορευομένοις, ἀλλὰ καὶ τῶν ὑπαρχόντων κομιδήν, ἀφ’ ὧν ἕκαστος ἔφυγε. παρέλυσε δὲ τοὺς ἐν αὐτῇ τῇ Μακεδονίᾳ τῶν βασιλικῶν ὀφειλημάτων, ἀφῆκε δὲ καὶ τοὺς ἐν ταῖς φυλακαῖς ἐγκεκλεισμένους ἐπὶ βασιλικαῖς αἰτίαις. ταῦτα δὲ ποιήσας πολλοὺς πολλάκις μετεωροδοκῶν καλὰς ἐλπίδας ὑποδεικνύναι πᾶσι τοῖς Ἕλλησιν ἐν αὐτῷ· ἐπέφαινε δὲ καὶ κατὰ τὴν ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολέμῳ προστασίαν τὸ τῆς βασιλείας ἀξίωμα. κατά τε γὰρ τὴν ἐπιφάνειαν ἦν ἱκανὸς καὶ πρὸς πᾶσαν σωματικὴν χρείαν τὴν διατείνουσαν εἰς τὸν πραγματικὸν τρόπον εὔθετος; κατά τε τὴν ἐπίφασιν εἶχεν ἐπισκύνιον καὶ τάξιν οὐκ ἀνοίκειον τῆς ἡλικίας. ἐπεφεύγει δὲ καὶ τὴν πατρικὴν ἀσέλγειαν τήν τε περὶ τὰς γυναῖκας καὶ τὴν περὶ τοὺς πότους. καὶ τὰ μὲν προοίμια αὐτοῦ τοιαύτην ἔσχε διάθεσιν.

π 1371 Περσεὺς Μακεδών· ὅτι Περσεὺς ἀναθαρρῶν ἤδη κατ' ὀλίγον μετὰ τὴν φυγὴν Νικίαν καὶ Ἀνδρόνικον, οὓς ἐπὶ τὸν καταποντισμὸν τῶν χρημάτων καὶ τὸν ἐμπρησμὸν τῶν νεῶν ἐπεπόμφει, περιποιήσας αὑτῷ καὶ τὰς ναῦς καὶ τὰ χρήματα, συνίστορας ἡγούμενος αἰσχροῦ φόβου καὶ ἑτέροις ἐξαγγέλλειν, ἀπέκτεινεν ἀθεμίστως· καὶ ἀπὸ τοῦδε εὐθὺς ἐκ μεταβολῆς ὠμὸς καὶ εὐχερὴς ἐς ἅπαντας ἐγένετο, καὶ οὐδὲν ὑγιὲς οὔτε εὔβουλόν οἱ ἔτι ἦν, ἀλλ' ὁ πιθανώτατος ἐς εὐβουλίαν καὶ λογίσασθαι δεξιὸς καὶ εὐτολμότατος ἐς μάχας, ὅσα γε μὴ σφάλλοιτο δι' ἀπειρίαν, ἀθρόως τότε καὶ παραλόγως ἐς δειλίαν καὶ ἀλογιστίαν ἐτρέπετο καὶ ταχὺς καὶ εὐμετάθετος ἄφνω καὶ σκαιὸς ἐς πάντας ἐγίνετο, ἀρχομένης αὐτὸν ἐπιλείπειν τῆς τύχης, ὅπερ ἐστὶ πολλοὺς ἰδεῖν μεταβολῆς προϊούσης ἀλογωτέρους γενομένους ἑαυτῶν. ὅτι ἡ τοῦ Περσέως ναῦς τά τε ἄλλα ἐξήσκητο μεγαλοφυῶς καὶ τὴν εἰρεσίαν ἐπὶ ιζ' στοίχων εἶχε πεποιημένην.

π 1372 Περσεύς· οὗτος ἀνεῖλε λογχοδρεπάνῳ τὴν Γοργόνα, ἐπικρύψας ἑαυτὸν εἰς τὸ μὴ ὁρᾶσθαι τῇ τοῦ ᾅδου κυνῇ.

π 1373 Περσεφόνη: κατάγειος δαίμων. Ἠλέκτρα φησί· ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης, ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' Ἀρὰ σεμναί τ' Ἐριννύες, αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε τούς τ' εὐνὰς ὑποκλεπτομένους· ἔλθετ', ἀρήξατε πατρὸς φόνον ἡμετέρου.

π 1374 Περσεῖδαι: ἀπὸ Περσέως.

π 1375 Πέρσης, Ἀσκραῖος, ἐποποιός, ἀδελφὸς Ἡσιόδου τοῦ ποιητοῦ.

π 1376 Περσικαί· ὅτι Περσικαί εἰσι μὲν δένδρα, ἔστι δὲ καὶ ὑποδήματος εἶδος γυναικείου. Ἀριστοφάνης Νεφέλαις· κᾆτα ψυγείσῃ περιέφυσαν Περσικαί.

π 1377 Περσικὸς ὄρνις: ὁ ἀλέκτωρ, διὰ τὴν λοφίαν. ἢ ὅτι τὰ πολυτελῆ πάντα, οἷς βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο Περσικά. καὶ νῦν παρὰ Ἀριστοφάνει οὐκ ἰδίως ὄρνις Περσικός. ζήτει περὶ Περσῶν ἀρχῆς ἐν τῷ Ἀσσύριοι. ζήτει ἀρίθμησιν Περσικοῦ στρατοῦ ἐν τῷ Δαρεικούς.

π 1378 Περσίς: ὄνομα τόπου.

π 1379 Πέσῃ: αὐθυπότακτον.

π 1380 Πέσημα: πτῶμα. πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι. περὶ Αἴαντός φησιν, ὅτι ἑαυτὸν ξίφει διεχρήσατο.

π 1381 Πεσσινοῦντος: πόλις.

π 1382 Πέσκος: δέρμα, κῴδιον. καὶ Πεκτῆρες, οἱ τὸ δέρμα τίλλοντες.

π 1383 Πεσσόμενα: παρὰ Ἡροδότῳ ὀπτώμενα.

π 1384 Πεσσούς: κύβους. καὶ Πεσσοί, ψῆφοι, παρὰ Ἡροδότῳ, ἐν οἷς ἔπαιζον.

π 1385 Πετάλοις: φύλλοις. καὶ ἐν Ἐπιγράμμασι πέταλον, πίλημα ἐξ ἐρίου πιληθέν. σοὶ τὸν πιληθέντα δι' εὐξάντου τριχὸς ἀμνοῦ, Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασεν πέταλον.

π 1386 Πετάλῳ· ἔχοντες γέρρα πάντες βοῶν λευκῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ.

π 1387 Πέτασος: εἶδος ὑφάσματος. ἐπιρριψάντων Δράκοντι τῷ νομοθέτῃ τῶν Ἀθηναίων πετάσους πλείονας καὶ χιτῶνας, ἀποπνιγῆναι ἐν τῷ θεάτρῳ.

π 1388

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πέταυρα: σίγνα. Βάβριος· ὁ δ’ ἐκ πεταύρου κλαγγὸν εἶπε βοήσας· πόθεν μαθήσῃ πόσον εἰς ἕω λείπει, τὸν ὡρονόμον θύσας με.

π 1389 Πέταυρον: παγίς, βάθος. σανίς. οἷον πέτευδον. παρὰ τὸ εὕδειν ἐν αὐτῷ τὰ πετεινά.

π 1390 Πετεῶο: τοῦ Πετεῶ παῖς.

π 1391 Πεττεύει: μεταφέρει. ἀπὸ τῶν πεττῶν, τουτέστι τῶν κύβων. καὶ ὁ δραπέτης, ὁ ἀποδρῶν τῆς δουλείας. ὁ τὸ δρᾶν πεττεύων, ὅ ἐστι φεύγων.

π 1392 Πεττεύουσι: ταβλίζουσι. Καὶ Πεττείαις, παιδιαῖς, αὐλοῖς. καὶ Πεττὸς ὁμοίως.

π 1393 Πετεινὸν καὶ Πετεηνόν.

π 1394 Πέτηλον: τὸ φύλλον.

π 1395 Πετίλιος: ὄνομα κύριον.

π 1396 Πετῖτον· κεῖται ἐν τῷ παι διφθόγγῳ ἐσφαλμένως.

π 1397 Πέττουσα: ἀρτοποιοῦσα. καὶ πέττουσιν, ἀρτοποιοῦσι. καὶ Ἀριστοφάνης· τοῦ ’ν τετράδι πεπεμμένου. ἔξω τῶν ἑορτῶν ἱεραί τινες ἡμέραι τοῦ μηνὸς ἐνομίζοντο Ἀθήνησι θεοῖς τισιν, οἷον νουμηνία καὶ ζ′ Ἀπόλλωνι, δ′ Ἑρμῇ, η′ Θησεῖ. Πεττοὶ δὲ τὰ βόλια, ἐν οἷς ταβλίζουσι. λύσις ὀνείρου· καλὸν πέτεσθαι πράξεως καλῆς τόδε.

π 1398 Πετόμενος: φερόμενος.

π 1399 Πετόσιρις, Αἰγύπτιος, φιλόσοφος, καθὰ Ἕλληνες καὶ Αἰγύπτιοι τὰς περὶ θεῶν διετάξατο ἐπιλογὰς ἐκ τῶν ἱερῶν βιβλίων, Ἀστρολογούμενα, καὶ Περὶ τῶν παρ’ Αἰγυπτίοις μυστηρίων.

π 1400 Λύσις ὀνείρου· Πέτρᾳ καθεσθεὶς ἐλπίδας χρηστὰς ἔχε.

π 1401 Πετρηδόν: δίκην πετρῶν.

π 1402 Πετραία: ὄνομα πόλεως.

π 1403 Πετρήεσσα: πετρώδης, βαθεῖα.

π 1404 Πέτρα: πόλις.

π 1405 Πετρόβολον: ἡ τοῦ μηχανήματος ἀλκὴ τοῦ πετροβόλου, τοῦ κατὰ τὴν πολιορκίαν τῆς Ἰουδαίας ὑπὸ Οὐεσπεσιανοῦ, τοιάδε τις ἦν· πληγεὶς γάρ τις ὑπ’ αὐτοῦ τῶν περὶ τὸν Ἰώσηπον τῶν ἀνὰ τὸ τεῖχος, ἀπαράσσεται τὴν κεφαλὴν ὑπὸ τῆς πέτρας καὶ τὸ κρανίον ἀπὸ τριῶν ἐσφενδονήθη σταδίων. γυναικός τε μεθ’ ἡμέραν ἐγκύμονος πληγείσης τὴν γαστέρα, προήει δὲ νέον ἐξ οἰκίας, ἐξέσεισεν ἐφ’ ἡμιστάδιον τὸ βρέφος. τοσαύτη ἦν ἡ τοῦ λίθου βία. τῶν οὖν ὀργάνων φοβερώτατος ὁ ῥοῖζος, τῶν δὲ βαλλομένων ἦν ὁ ψόφος.

π 1406 Πέτρος, ὁ ῥήτωρ, ὁ καὶ μάγιστρος καὶ ἱστορικός, πρεσβευτὴς ὡς Χοσρόην σταλεὶς μάλα ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν, τῷ καταμαλάξαι φρονήματα βαρβαρικὰ σκληρά τε καὶ ὀγκώδη. ἔγραψεν ἱστορίαν καὶ περὶ πολιτικῆς καταστάσεως.

π 1407 Πέτρος ὁ Μογγός, Ἀλεξανδρείας μὲν ἦν ἐπίσκοπος, αἱρετικὸς δὲ διάπυρος· Εὐφήμιος δὲ ὁ πατριάρχης ζηλωτὴς ἦν τῆς ὀρθοδόξου πίστεως.

π 1408 Πέτρος· οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ, ἔφθασε δὲ καὶ μέχρι μαγίστρου γενέσθαι· ὃς ἀεὶ καὶ καθημέραν τοὺς βασιλεῖς κλοπαῖς ἀμυθήτοις ἀπέκναιε. πρᾶος μὲν γὰρ ἦν, καὶ ὡς ἥκιστα ὑβρίζειν εἰδώς, κλεπτίστατος δὲ ἁπάντων ἀνθρώπων καὶ ῥύπου αἰσχροῦ ἀτεχνῶς ἔμπλεως.

π 1409 Πέτρος Βαρσύμης· ζήτει ἐν τῷ δεξιός.

π 1410 Πευθήν, Πευθῆνος: ὁ μανδάτωρ.

π 1411 Πευκαλίμη: φρόνιμος.

π 1412

Πεῦκαι: λαμπάδες, δᾷδες. αἱ δ’ αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν περὶ παστῷ πεῦκαι, καὶ φθιμένῃ νέρθεν ἔφαινον ὁδόν. καὶ παροιμία· Πεύκης τρόπον, ἐπὶ τῶν πανωλεθρίᾳ ἀπολλυμένων. ἐπεὶ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησιν ἔτι βλαστόν.

π 1413 Πευκελαῶτις: ὄνομα πόλεως.

π 1414 Πευκήεντα.

π 1415 Πεύσῃ: ἀντὶ τοῦ ἐρωτήσεις, μαθήσῃ, ἀκούσεις. καὶ Πεύσομαι, ἐρωτήσω.

π 1416 Πεφασμένον: εἰρημένον, ἢ πεφανερωμένον.

π 1417 Πεφασμένος: ἀντὶ τοῦ γεγενημένος. Λυκοῦργος· Λυσίας δὲ πεφασμένος ἀντὶ τοῦ φανερῶς λέγει.

π 1418 Πεφασμένου: φανεροῦ γενομένου. πεφασμένου δέ, τίς ποθ’ ἡ προθυμία;

π 1419 Πεφενάκικεν: ἠπάτησεν.

π 1420 Πεφεισμένοι: φειδόμενοι.

π 1421 Πέφηνεν: ἐφανερώθη.

π 1422 Πεφήσεται: ἀναιρεθήσεται. Πεφιδήσεται δέ, φείσεται.

π 1423 Πεφιλοσοφήσθω.

π 1424 Πεφοβήατο.

π 1425 Πεφόνηκεν: ἐφόνευσεν.

π 1426 Πεφορυγμένον: κεκαλυμμένον. δισσάκι τετρόγυιον πολλῷ πεφορυγμένον ἀφρῷ.

π 1427 Πεφώραται: πεφανέρωται, εὕρηται.

π 1428 Πέφρικα: ἀπὸ τοῦ φρίσσω. φοβοῦμαι, δέδοικα, δειλιῶ.

π 1429 Πεφρονηματισμένος: οἰήσεως πληρωθείς. ὁ δὲ κατὰ τὰς μάχας πολλάκις εὐημερῶν καὶ πεφρονηματισμένος ἐπ’ ἀνδρείᾳ.

π 1430 Πεφρυγμένα: τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα χίδρα σίτου καὶ κριθῆς.

π 1431 Πεφυζότες: δειλιῶντες.

π 1432 Πέφυκε: φύσει ὑπάρχει. καὶ Πεφυκώς, φύσει ὑπάρχων.

π 1433 Πεφυρμένος: μεμολυσμένος. ὁ δὲ ἔτι φονῶν καὶ πεφυρμένος τῷ λύθρῳ ἐς τοὺς ἐχθροὺς ἔρχεται.

π 1434 Πεφυσιγγωμένοι: πεφυσημένοι. φύσιγξ δὲ τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων· ἡ φυσίγγη. ἔπαιξεν οὖν καὶ τοῦτο εἰς Μεγαρέας, ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεπλησμένοι, ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσῶν. ἢ ἐκκεκαυμένοι, οἰδοῦντες. Ἀριστοφάνης· κᾆθ’ οἱ Μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι, ἀντεξέκλεψαν Ἀσπασίας.

π 1435 Πέψει: πραϋνεῖ.

π 1436 Πειθανάγκη: ἡ μετὰ βίας πειθώ. ὑπολαμβάνων διὰ τούτων πειθανάγκην προσάξειν τοῖς Λευκαδίοις τοῦ συγχωρεῖν τοῖς ὑπ’ αὐτῶν ἐπιταττομένοις. πολλὰς δὲ τῶν γυναικῶν τῇ πειθανάγκῃ κατήγαγεν· οὕτω γὰρ ἦν λάγνος. καὶ εἶξα τῇ Θετταλικῇ πειθανάγκῃ κτείνας τὸν αὐτὸς αὑτοῦ δεσπότην.

π 1437 Πειθαρχῶ· δοτικῇ.

π 1438 Πειθαναλογία.

π 1439 Πειθήνιος: καταπειθής, πειθόμενος.

π 1440

Πείθω: τὸ καταπείθω. αἰτιατικῇ. πείθει δῶρα καὶ θεούς. καί, ἆρα πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις, ἢ ἑτέρων δεήσεσθε; Πείθομαι δὲ δοτικῇ· ἀναγκαῖον εἶναι ἡγούμην πείθεσθαι τοῖς ἡμετέροις βουλεύμασι. καί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν.

π 1441 Πειθώ: ἡ πεισμονή. οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο, πλὴν λόγος.

π 1442 Πείθωνος: ὄνομα κύριον. καὶ ὄνομα ζῴου.

π 1443 Πειθοῖ· πειθοῖ τε ὑπαχθέντες καὶ τῷ δολερῷ τῶν ῥημάτων καταστρατηγηθέντες συνεχώρησάν οἱ περαιωθῆναι τὸν ῥοῦν. ἀλλὰ καὶ πειθοῖ τῇ Ἑλληνικῇ καὶ μούσῃ γεγυμνασμένος ὁ Ἀμβρόσιος.

π 1444 Πείκειν: κτενίζειν.

π 1445 Πεῖνα: ἡ δι’ ἔνδειαν τροφῆς ἐπιθυμία. διὰ διφθόγγου. Πίννα δὲ ὁ ἰχθὺς διὰ τοῦ ι. ἔστι δὲ πεῖνα ἐπιθυμία ξηροῦ καὶ θερμοῦ, οὐ δίχα δὲ ψυχροῦ· συνεστῶτα γὰρ ἡμῶν ἐνθένδε τὰ σώματα τρέφεται δι’ αὐτῶν, ὅταν ἰσχύῃ κατεργάζεσθαι καὶ πέττειν καὶ ἐξομοιοῦν τὰ προσαγόμενα.

π 1446 Πείνη: ἡ πεῖνα.

π 1447 Πειώλης: ὁ πόρνος.

π 1448 Πεῖρα: ὁ δόλος, καὶ ἡ ἀπάτη, καὶ ἡ τέχνη. ὅθεν καὶ πειραταὶ οἱ κατὰ θάλασσαν κακοῦργοι. πεῖρα δὲ καὶ ἡ βλάβη· ὡς ἐν Δανάῃ Σοφοκλῆς· οὐκ οἶδα τὴν σὴν πεῖραν οὐδ’ ἐπίσταμαι, τοῦ παιδὸς ὄντος τοῦδ’ ἐγὼ διόλλυμαι. ἀεί, Ὀδυσσεῦ, ὁρῶ σε πεῖράν τιν’ ἐχθρῶν ἁρπάσαι θηρώμενον. τουτέστιν ἀεὶ ὁρῶ σε τὴν παρὰ τῶν ἐχθρῶν σου βλάβην γινομένην προϋφαρπάσαι καὶ τοῖς ἐχθροῖς ταύτην ἐπιπέμψαι μηχανώμενον.

π 1449 Πεῖρα. ἐξιόντων τῶν ἀνδρῶν ἐπὶ τὰς προνομὰς καὶ δὶς τὸ κατορθοῦν ἐν ταῖς πείραις.

π 1450 Πεῖραν: πορείαν, ὁδόν. οὐδ’ ὑπ’ ἀγγέλων κληθεὶς ἀφορμῆς πεῖραν.

π 1451 Πειράζειν: κατάρχεσθαι. Σκιπίων ὁ Ῥωμαῖος συνεβούλευσεν οὕτως ἢ μὴ πειράζειν ἢ οὕτως ὥστε ἐκ παντὸς τρόπου τέλος ἐπιθεῖναι τῇ πράξει. τὸ γὰρ δὶς πρὸς τὸν αὐτὸν πειράζειν ἅμα μὲν ἐπισφαλὲς, ἅμα δ’ εὐκαταφρόνητον γενέσθαι ποιεῖ παντελῶς.

π 1452 Πειρᾶν: τοὺς λόγους περὶ συνουσίας προφέρειν. καὶ πειραθῆναι, τὸ ἀκοῦσαι λόγους τοιούτους. Θουκυδίδης· πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου καταγορεύει τῷ Ἀριστογείτονι. σημαίνει ἡ λέξις καὶ τὸ ἄλλως διαπειρᾶσθαι. Πειρᾶν γὰρ κυρίως τὸ προσβάλλειν γυναικὶ περὶ τῆς ἀφροδίτης.

π 1453 Πειρατέον: δεῖ πειρᾶν.

π 1454 Πειρατῶν: καταποντιστῶν, κατὰ θάλασσαν λῃστῶν. Πεῖρα γὰρ ὁ δόλος, καὶ ἡ ἀπάτη, καὶ ἡ τέχνη. ὅθεν καὶ πειραταὶ οἱ κατὰ θάλατταν κακοῦργοι.

π 1455 Πειραιεύς: ὄνομα κύριον. καὶ ὁ λιμήν. καὶ κλίνεται Πειραιέως, Πειραιῶς, καὶ ἡ δοτικὴ Πειραιεῖ. καὶ νῆσος, ὅθεν τοὔνομα εἴληφεν ἀπὸ τοῦ διαπερᾶν. καὶ ζήτει τὴν τούτου ἱστορίαν ἐν τῷ ἔμβαρός εἰμι.

π 1456 Πειρασμός.

π 1457 Πειρήνη: ὄνομα πηγῆς καλλιρρόου. Λαΐδ’ ἔχω πολιῆτιν ἐϋζώνοιο Κορίνθου, Πειρήνης λευκῶν φαιδροτέρην λιβάδων.

π 1458 Πείρησαν: δοκιμήν, ἀπόπειραν ἔλαβον. τὴν δὲ χάριν δώρων πείρησαν ἐν θανάτῳ. τὸ ξίφος εἷλ’ Αἴαντα μεμηνότα· καὶ πάλιν ζωστὴρ εἵλκυσε Πριαμίδαν δίφρια συρόμενον.

π 1459 Πείρινθα: τὸ ἐπάνω τῆς ἁμάξης, εἰς ὃ ἐντίθεται τὸ κομιζόμενον.

π 1460 Πειρῶ: τὸ ἀπόπειραν ποιοῦμαι. Πείρω δὲ τὸ σουβλίζω, καὶ κεντῶ.

π 1461

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πειρῶμαι· γενικῇ.

π 1462 Πειρῶν: προσβάλλων, συνουσιάζων. τὰς Κορινθίας φασίν· τοῦτο γάρ ἐστι τὸ πειρᾶν. Ἀριστοφάνης Πλούτῳ· ὅταν τις μὲν αὐτὰς πένης πειρῶν τύχῃ, οὐδὲ προσέχειν τὸν νοῦν. καὶ Πειρασάντων ἀνδρῶν, διαπειρασάντων καὶ μετελθόντων, ἢ ἐπιτηδευσάντων. ἐσχημάτισται δὲ ἀπὸ τοῦ πειρᾶν· πειρᾶν γὰρ τὸ προσβάλλειν γυναικὶ περὶ τῆς ἀφροδίτης. τροπῇ οὖν κέχρηται ὡς ἐπὶ γυναικός. σημαίνει οὖν σπανίως ἐπιτυχεῖν τινας καὶ ὀλίγους κατορθῶσαι παντάπασι.

π 1463 Πειρῶντα: πειράζοντα διὰ λόγων.

π 1464 Πείρως, Πείρω: ὄνομα κύριον. καὶ κλίνεται Ἀττικῶς. καὶ θηλυκὸν Πειρώ.

π 1465 Πείσανδρος, Πείσωνος καὶ Ἀρισταίχμας, Καμιραῖος ἀπὸ Ῥόδου· Κάμιρος γὰρ ἦν πόλις Ῥόδου. καί τινες μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱστοροῦσι, τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον, οἱ δὲ κατὰ τὴν λγʹ ὀλυμπιάδα τάττουσιν. ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν. ποιήματα δὲ αὐτοῦ Ἡράκλεια ἐν βιβλίοις βʹ· ἔστι δὲ τὰ Ἡρακλέους ἔργα· ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπαλον περιτέθεικε. τὰ δὲ ἄλλα τῶν ποιημάτων νόθα αὐτοῦ δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριστέως τοῦ ποιητοῦ.

π 1466 Πείσανδρος, Νέστορος τοῦ ποιητοῦ υἱός, Λαρανδεὺς ἢ Λυκάνιος, γεγονὼς ἐπὶ Ἀλεξάνδρου βασιλέως, τοῦ Μαμαίας παιδός, ἐποποιὸς καὶ αὐτός. ἔγραψεν ἱστορίαν ποικίλην δι᾿ ἐπῶν, ἣν ἐπιγράφει Ἡραϊκῶν Θεογαμιῶν ἐν βιβλίοις ξʹ· καὶ ἄλλα καταλογάδην.

π 1467 Πεισάνδρου δειλότερος· ἔνθα καὶ Πείσανδρος ἦλθε, δεόμενος ψυχὴν ἰδεῖν, ἣ ζῶντ᾿ ἐκεῖνον προὔλιπε. δειλὸς γὰρ ἦν καθ᾿ ὑπερβολήν. Ἀριστοφάνης· εἴ τι Πεισάνδρου βδελύττῃ τοὺς λόφους καὶ τὰς ὀφρῦς. οὗτος γὰρ δειλὸς ἦν, φιλοπόλεμος δὲ καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκεν. μέγας δέ, καὶ ἐκαλεῖτο ὄνος Κνίδιος. ἐχρῆτο δὲ τριλοφίᾳ καὶ ὅπλοις ἐπισήμοις ὑπὲρ τοῦ δοκεῖν ἀνδρεῖος εἶναι, μὴ ὤν.

π 1468 Πείσεα: οἱ κάθυδροι τόποι.

π 1469 Πεισιανάκτειος στοά: ἥτις ἀπὸ Πολυγνώτου ζωγράφου Ποικίλη κληθεῖσα.

π 1470 Πεισίας: ὄνομα κύριον.

π 1471 Πεισιθάνατος ὁ Ἡγησίας ἐλέγετο.

π 1472 Πεῖσιν: τὴν πειθώ. ἡ εὐθεῖα ἡ πεῖσις.

π 1473 Πεισιόνη: ὄνομα κύριον.

π 1474 Πεισίστρατος: ὄνομα κύριον. καὶ ζήτει ἐν τῷ σφακελισμός.

π 1475 Πείσματα: τὰ ἀγκύρια, σχοινία. παρὰ τὸ πείθεσθαι δι᾿ αὐτῶν τὴν ναῦν.

π 1476 Πεισόμενον: παθεῖν μέλλοντα.

π 1477 Πείσονται: πάθωσιν.

π 1478 Πείσων, Πείσωνος· εἷς ἦν τῶν παρ᾿ Ἀθηναίοις λʹ τυραννησάντων.

π 1479 Πειστέον: δεῖ πείθεσθαι.

π 1480 Πειστήρ: ὁ ὑπήκοος.

π 1481 Πῇ: ποῦ. εἰς τίνα τόπον. πῇ δὴ τόνδε μολοβρὸν ἄγεις; Ὅμηρος.

π 1482 Πηγάζω· αἰτιατικῇ.

π 1483 Πήγανον: εἶδος βοτάνης.

π 1484 Πηγὰς γάλακτος: πολὺ γάλα. ὡς πηγὰς δακρύων, πολλὰ δάκρυα.

π 1485 Πηγαί: τόπος ἐν Μεγάροις.

π 1486 Πηγαῖον ὕδωρ: ἐκ πηγῆς.

π 1487 Πηγεσίμαλλος: ὁ βαθύμαλλος.

π 1488 Λύσις ὀνείρου· Πηγὴ διαυγὴς τὰς νοὸς λύει λύπας.

π 1489 Πηγίδιον: ἡ μικρὰ πηγή.

π 1490 Πηγνύω· αἰτιατικῇ, καὶ Πήγνυμι.

π 1491 Πηγός: ὁ εὐτραφής.

π 1492 Πηγυλίς: τὸ κρύος.

π 1493 Πηδάλια: οἴακες, αὐχένες. Ἀριστοφάνης· ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι. τὸ δὲ πλοῖον ἔσται ναξιουργὲς κάνθαρος.

π 1494 Πηδαλιουχεῖν: κυβερνᾶν. Ἀριστοφάνης· ἐρέτην χρὴ πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν· κἀντεῦθεν πρωρατεῦσαι καὶ τοὺς ἀνέμους διαθρῆσαι κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τοῦτό φησι καὶ ὁ Θεολόγος ὅλον τὸ χωρίον.

π 1495 Πηδαλίωνος: ὄνομα κύριον.

π 1496 Πηδᾶν: ἀντὶ τοῦ ὑπερηφανεῖν. οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας πηδᾶν, ὅ τι λέξει.

π 1497 Πήδασος: ὄνομα πόλεως.

π 1498 Πήδαιος: ὄνομα κύριον.

π 1499 Πηδόν: τὴν κώπην.

π 1500 Πῆκος, ὁ καὶ Ζεύς, παραδοὺς τὴν τῆς δύσεως ἀρχὴν τῷ ἰδίῳ υἱῷ Ἑρμῇ τελευτᾷ, ζήσας κʹ καὶ ρʹ ἔτη· καὶ τελευτῶν ἐκέλευσεν ἀποτεθῆναι τὸ ἑαυτοῦ σῶμα ἐν τῇ Κρήτῃ τῇ νήσῳ, ἐν ᾧ ἐπιγέγραπται· ἐνθάδε κεῖται θανὼν Πῆκος ὁ καὶ Ζεύς. μέμνηνται τοῦ τάφου τούτου πλεῖστοι ἐν τοῖς ἰδίοις συγγράμμασι.

π 1501 Πηκτή. ἐν Ἐπιγράμμασι· πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων ἀνέθηκεν ὁ βουκόλος. καὶ εἶδος ἀκολάστου σχήματος. καὶ Πηκταί, θηρευτικὸν ὄργανον παρὰ Ἀριστοφάνει.

π 1502 Πηκτίς, πηκτίδος: πάνδουρα, μάχαιρα κρεωκόπος. παρὰ δὲ Ἀριστοφάνει ἐν Θεσμοφοριαζούσαις εἶδος ὀργάνου κιθαρῳδικοῦ. τὴν γραῦν ἐρωτᾷς, ἣ ᾽φέρεν τὰς πηκτίδας; ἢ εἶδος ἀκολάστου σχήματος. καὶ ἐν Ἐπιγράμμασι· ἁδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις.

π 1503 Πηκτόν: τὸ κατασκευαστὸν ἄροτρον.

π 1504 Πηλαγόνος: ὄνομα Γίγαντος.

π 1505 Πηλακισμός: ὁ ἐμπαιγμός.

π 1506 Πήλαξ: ῥάγας.

π 1507 Πηλέως μάχαιρα: παροιμία· ταύτην ἀναγράφει καὶ Ἀριστοφάνης οὕτως· μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ. ἣ ἐδόκει σωφροσύνης γέρας ἡφαιστότευκτος, ἣν εἰλήφει μάχαιραν ὁ Πηλεύς.

π 1508 Πηλείδης: ὁ τοῦ Πηλέως.

π 1509 Πηλείωνος: ὄνομα κύριον.

π 1510 Πηληϊάδεω Ἀχιλῆος: δι᾽ ἑνὸς λ.

π 1511 Πήληκα: περικεφαλαίαν.

π 1512 Πήληξ· Αἰσχίνης κατὰ Κτησιφῶντος. δῆμος τῆς Λεοντίδος.

π 1513 Πηλίκον: ποταπόν.

π 1514 Πήλιον: ὄνομα ὄρους.

π 1515 Πηλός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1516 Πηλούσιον: ὄνομα τόπου. κλεὶς τῆς Αἰγύπτου καὶ εἰσόδου καὶ ἐξόδου. καὶ Πηλουσιώτης, ὁ πολίτης. ὅτι οἱ Πηλουσιῶται Κάσιοι φυσικῇ τέχνῃ ἅμματα ἔπλεκον, δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες.

π 1517 Πηλοφόροι: χειροτέχναι, μισθωτοί.

π 1518 Πῆμα: κακόν, βλάβη, δυστυχία. Σοφοκλῆς· μὴ κακὸν κακῷ διδοὺς ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει. τὸ ἑξῆς· μὴ κακὸν κακῷ διδοὺς ἄκος μεῖζον ποιήσῃς τῆς ἄτης τὸ πῆμα. ἄτην φησὶ τὴν μανίαν, πῆμα δὲ τὸν θάνατον, ὅ ἐστι χεῖρον τῆς μανίας. καὶ αὖθις Σοφοκλῆς· Κρέων δέ σοι πῆμ' οὐδέν, ἀλλ' αὐτὸς σὺ σοί. εἰρήκει γὰρ Οἰδίπους, Κρέοντος ἢ σοῦ ταῦτα τἀξευρήματα;

π 1519 Πημανεῖ· Ἀριστοφάνης· οὐδὲ Κτησίας ὁ συκοφάντης πημανεῖ. οὗτος ἐπὶ συκοφαντίᾳ ἐκωμῳδεῖτο.

π 1520 Πημαίνει: κακοῖ, βλάπτει.

π 1521 Πῆ μέν: ὅπου μέν.

π 1522 Πημήνειαν: βλάψειαν. ὁ δὲ οὐ πρότερον ἀνῆκε, πρὶν σφόδρα πημῆναι τὸ δυσμενὲς καὶ πολλοὺς ὅσους διαχειρίσασθαι.

π 1523 Πημονή: ἡ βλάβη.

π 1524 Πηνέλεως: ὄνομα κύριον.

π 1525 Πηνελόπεια καὶ Πηνελόπη: ὀνόματα κύρια.

π 1526 Πηνειός: ὄνομα ποταμοῦ, καὶ ὄνομα τόπου.

π 1527 Πηνίκα: πότε. οὐκ εἰδότα, πηνίκα δὲ ἐξώρμησε τῆς νυκτός.

π 1528 Πηνίκ' ἐστὶν ὥρα τῆς ἡμέρας: ἀντὶ τοῦ ποία ὥρα ἐστὶ τῆς ἡμέρας; ὥρας γὰρ ἐζήτουν, οὐ καιρούς. τὸ δὲ ἀνταποδοτικόν, ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν. τὸ δέ, πηνίκ' ἄττ' ἀπώλετο οὐκ Ἀττικόν, οὐδὲ ἀρχαϊκόν, οὐδὲ ἀκριβές. ἔστι δὲ ἀντὶ τοῦ πότε δῆτα· παρέλκει γὰρ τὸ ἄττα· ἀλόγως γὰρ κεῖται, οὔτε γὰρ τὸ τινὰ σημαίνει οὔτε τὸ ἅτινα. οὐδὲν γὰρ τούτων ἁρμόζει τῷ ὁπηνίκα.

π 1529 Πηνίκη: περικεφαλαία τριχωτή, καὶ περιθετὴ κόμη. ἔνθεν καὶ πηνικίζειν, τὸ ἀπατᾶν. τῆς δὲ περιθετῆς κόμης τὸ μὲν ἔντριχον, τὸ δὲ προκόμιον, τὸ δὲ πηνίκην ἐκάλουν.

π 1530 Πηνίον: ὁ ἄτρακτος, ἐν ᾧ εἱλεῖται ἡ κρόκη. καὶ τὰ τροχαῖα πανία κερταστὰς τούσδε ποτιρογέας καὶ σπάθας εὐβριθεῖς πολυάργυρα. καὶ Ὅμηρος· πηνίον ἐξέλκουσα. ὅθεν καὶ τὸ ἐκπηνιεῖται.

π 1531 Πηνίον: ζῷον ὅμοιον κώνωπι. Ἀριστοφάνης Νεφέλαις· κείσεσθον ὥσπερ πηνίω βινουμένω. ἀντὶ τοῦ ξηροί· σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν. ὅτι δὲ κώνωπος εἶδός ἐστι, Σπεύσιππος ἐν τῷ ιβʹ τῶν ὁμοιοτήτων φησὶν οὕτως· πηνίον, ἐμπίς, κώνωψ.

π 1532 Πηνίσματα: ὑφάσματα.

π 1533 Πηός: ὁ κατ' ἐπιγαμίαν συγγενής. καὶ Πηοσύνη, ἡ συγγαμβρία. καὶ Πηῶν, τῶν συγγενῶν. Ὅμηρος· πηούς τε φίλους τε.

π 1534 Πήρα: ἡ θήκη τῶν ἄρτων. καὶ παροιμία· Πτωχοῦ πήρα οὐ πίμπλαται· ἐπὶ τῶν ἀπλήστων.

π 1535 Πήρα: μάρσιππος, θήκη. καὶ πήραν, μέτρον σιτοδόκον σπορίμου. καὶ Πηρίδιον. καὶ Ἀριστοφάνης· Τήλεφος ἐκ πηριδίου. οὗτος πένης ἦν.

π 1536 Πηρίν, πηρῖνος: τὸ αἰδοῖον.

π 1537 Πηρός: ὁ παντάπασι μὴ ὁρῶν.

π 1538 Πήρωσις: ἡ τύφλωσις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1539 Πήσσω: τὸ πηγνύω.

π 1540 Πητύα: ὁ ὀπὸς ὁ τυρεύων τὸ γάλα. καὶ παροιμία· Αὐτὸς γὰρ εὗρε τοῦ κακοῦ τὴν πητύαν. ὅτι τὴν πηγήν. ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

π 1541 Πηχίσκους: ξυλάρια πηχυαῖα. τῶν δὲ τὸν σχοῖνον ἑλκυσάντων, ἐν ᾧ πηχίσκους τινὰς ἐμβαλόντες ἀνάβασιν ἀσφαλῆ ἀπειργάσαντο.

π 1542 Πηχυαῖος.

π 1543 Πῆχυς, πήχεως. τὸ ἀπὸ τοῦ ἀγκῶνος μέχρι τῶν δακτύλων τῆς χειρὸς ἔκταμα. ὅτι ὁ πῆχυς ἔχει πόδας ἕνα ἥμισυ, ὁ δὲ ποῦς ἔχει δακτύλους ιςʹ.

π 1544 Πιανάτω: πίονα ποιήσει. τὰ ὁλοκαυτώματά σου.

π 1545 Πιανθήσεται.

π 1546 Πιανῶ: λιπαρὸν ποιήσω.

π 1547 Πιάνῃ: αὐθυπότακτον.

π 1548 Πίαρι: τῷ λιπαρῷ.

π 1549 Πίασος: ὄνομα κύριον. ἠράσθη Πίασος Θετταλὸς Λαρίσσης, τῆς ἑαυτοῦ θυγατρός, ἔρωτα ἄθεσμόν τε καὶ δυστυχῆ.

π 1550 Πιγνύη: κνῆκος ὁ τὸν τυρὸν πηγνύων.

π 1551 Πίγρης, Κὰρ ἀπὸ Ἁλικαρνασοῦ, ἀδελφὸς Ἀρτεμισίας, τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός· ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον, οὕτω γράψας· μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος, οὐλομένην. μοῦσα, σὺ γὰρ πάσης πείρατʼ ἔχεις σοφίης. ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.

π 1552 Πίγρης, Πίγρητος: ὄνομα ποταμοῦ. καὶ Πίγρητα, ὄνομα τόπου.

π 1553 Πίδακες: σταγόνες, πηγαί. καὶ αἱ μὲν κατʼ αὐτὸ πηγαὶ ἁλμυροῦ ὕδατος ἦσαν αἱ πᾶσαι.

π 1554 Πιδακίων.

π 1555 Πίδαξ: πηγή. ἢ σταγών. καὶ Εὐπῖδαξ χῶρος, ὁ καλὴν πηγὴν ἔχων. πορφυρίαν τε βότρυν, μεθυπίδακα, πυκνορρᾶγα. ἐν Ἐπιγράμμασι.

π 1556 Πίδαιος: ὄνομα κύριον.

π 1557 Πιδηέσσης: καθύγρου.

π 1558 Πιδύειν: ἀναδίδειν.

π 1559 Πιδύτης: ὄνομα κύριον.

π 1560 Πιαίνων: θεραπεύων, ὑποτρέφων. Αἰλιανός· λίχνον ὄμμα καὶ ἀσελγὲς πιαίνων κακῇ ἑστιάσει, τὰ τῆς Φερεφάττης ὄργια ἐδίψησε θεάσασθαι, ἀτέλεστος ὤν.

π 1561 Πιαίνω· αἰτιατικῇ. Πιαίνομαι δὲ δοτικῇ. καὶ ἐρίφοις ἐκ ποιμνίων πιαίνεσθαι.

π 1562 Πίε: πῖθι.

π 1563 Πιεζόμενος: βαρούμενος, δαμαζόμενος. καὶ ἀντὶ τοῦ λυπεῖ. Ἀριστοφάνης· τὸν Στιλβίδην πιέζει. ὁ δὲ Στιλβίδης μάντις ἄριστος καὶ εὐδόκιμος.

π 1564 Πιερία: ὄρος Μακεδονίας. καὶ Πιερίδες, αἱ Μοῦσαι αἱ ἐν Μακεδονίᾳ. ἐν Ἐπιγράμμασι· οὐ γὰρ Πιερίδεσσι τόσον μέλω, ὅσσον ἔρωτι· ὄργια τοσσατίων ἀμφιέπουσα πόθῳ.

π 1565 Πιεστήριον: τὸ ἐκθλίβον.

π 1566 Πίειρα: ἡ λιπαρή.

π 1567 Πίῃ: αὐθυπότακτον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1568 Πιήεντα: λιπαρά, ἀνθηρά. ψαιστά τε πιήεντα καὶ εὐθήσαυρον ἔλαιον.

π 1569 Πιήναντα: λιπαροὺς ἐργασάμενον. Ἀλυάττου πολιορκοῦντος Πριήνην, τὸν Βίαντα τὸν σοφὸν πιήναντα δύο ἡμιόνους ἐξελάσαι εἰς τὸ στρατόπεδον. τὸν δὲ συνιδόντα καταπλαγῆναι, τὸ μέχρι καὶ ἀλόγων διατείνειν αὐτῶν τὴν εὐθηνίαν. καὶ ἐβουλήθη σπείσασθαι καὶ εἰσέπεμψεν ἄγγελον.

π 1570 Πιθακίωνος.

π 1571 Πιθάκνη: ὑποκοριστικῶς. μικρὸς πίθος. ὡς πολίχνη. παρὰ δὲ Ἀριστοφάνει πιθάκναι, οἱ ἔρημοι τόποι· διὰ γὰρ τὸν πόλεμον σπηλαίοις ᾤκουν οἱ ἐκ τῶν ἀγρῶν. οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι.

π 1572 Πιθανόν· πιθανὸν ἀξίωμά ἐστι, τὸ ἄγον εἰς συγκατάθεσιν. οἷον εἴ τίς τι ἔτεκεν, ἐκείνη ἐκείνου μήτηρ ἐστί. ψεῦδος δὲ τοῦτο· οὐ γὰρ ἡ ὄρνις ᾠοῦ ἐστι μήτηρ.

π 1573 Πιθανώτατος.

π 1574 Πιθανούς: τοὺς εὐπειθεῖς. Ξενοφῶν Κύρου παιδείᾳ· πιθανοὶ δὲ οὕτως εἰσί τινες, ὥστε πρὶν εἰδέναι τὸ πραττόμενον, πρότερον πείθεσθαι. ὥσπερ φοβερούς, τοὺς φοβουμένους Θουκυδίδης. Ἀππιανός· ἕνα δ’ αὐτῶν πιστὸν καὶ πιθανὸν εἰς τὸ ἔργον, ἐντυχόντα τοῖς ὑπάτοις ἐν ἀπορρήτῳ πίστιν αἰτῆσαι. καὶ πιθανότητές τινες συνεκύρησαν ἐκ τῆς περιπετείας· ἃς οἱ Ῥωμαῖοι παρεπλάττοντο, φιλοτιμότερον τοῦ δέοντος. καὶ αὖθις· διὰ ῥώμην σώματος καὶ τὸ ἐς τὰς μάχας προπετὲς εἶναι τῷ πλήθει πιθανόν. ἀντὶ τοῦ ἐξάρχοντα.

π 1575 Πιθήκειον βλέμμα: τὸ τοῦ πιθήκου.

π 1576 Πιθηκισμοῖς περιελαύνεις: ἀντὶ τοῦ ἀπάταις καὶ κολακεύμασί με νικᾷς. ἢ μιμήμασιν· ὡς καὶ αὐτοῦ ταῦτα πεποιηκότος.

π 1577 Πίθηκος τῇ γυναικί· ζήτει ἐν τῷ διαθήκην διαθώμεθα, ἣν διέθετο πίθηκος τῇ γυναικί.

π 1578 Πίθηκος: ἡ μιμώ. Πίθηξ δὲ παρά τισιν ὁ βραχὺς ἀνθρωπίσκος. καὶ Διαπιθηκίσαι, διαπαῖξαι. ἀπὸ τῶν πιθήκων· φιλοπραγμονέστατον γὰρ τὸ ζῷον. καὶ παροιμία· ἄπληστος πίθος ὁ ἐν ᾄδου. ζήτει ἐν τῷ ἀπληστία.

π 1579 Πίθηκος: ἡ μιμώ. Βάβριος· κερδὼ πιθήκῳ φησίν· ἣν ὁρᾷς στήλην, ἐμοὶ πατρῴη τ’ ἐστὶ κἔτι παππῴη.

π 1580 Πίθηκος: τὸ ζῷον, ἡ μιμώ. παρὰ τὸ πιθῶ, πιθήσω· πείθει γὰρ ἡμᾶς. καὶ παροιμία· Γέρων πίθηκος οὐχ ἁλίσκεται. ἁλίσκεται μέν, μετὰ χρόνον δ’ ἁλίσκεται. ἐπὶ τῶν δυστυχησάντων.

π 1581 Πίθηκος ἐν πορφύρᾳ: παροιμία. ὅτι οἱ φαῦλοι, κἂν καλοῖς περιβληθῶσιν, ὅμως δ’ οὖν διαφαίνονται πονηροὶ ὄντες.

π 1582 Πίθηξ: ἡ μιμώ.

π 1583 Πῖθι: ἀντὶ τοῦ πίε.

π 1584 Πίθνης: ὄνομα κύριον.

π 1585 Πίθος: ὄνομα κύριον, καὶ τὸ οἰνηρὸν ἀγγεῖον.

π 1586 Πιθοῦ: περισπᾶται· ἔστι γὰρ β′ ἀόριστος. τούτους Ἀττικοὶ περισπῶσι, καὶ ἡ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ· ἡ γὰρ ἀναλογία βαρύνει. πιθοῦ τί μοι· πρὸς σοῦ γάρ, οὐδ’ ἐμοῦ φράσω.

π 1587 Πιθών: ὀξυτόνως, διὰ τοῦ ι· β′ γάρ ἐστιν ἀόριστος· λάθρα γὰρ ἦλθεν ὁ πιθὼν τοὺς κυρίους. Ἀριστοφάνης.

π 1588 Πιθῶνος: ὄνομα κύριον.

π 1589 Πιθοίατο: πεισθεῖεν.

π 1590 Πιθοιγία: ἡ τοῦ πίθου ἀνοιγή.

π 1591 Πίθυλλος· οὗτος ἡδονικὸς ἦν, Τένθης καλούμενος· ὃς καὶ περιγλωττίδα ὑμενίνην ἐφόρει, προσελυτρῶν τὴν γλῶσσαν πρὸς τὰς ἀπολαύσεις· καὶ δακτυλήθρας εἶχεν, ἤσθιε τὸ ὄψον, ἵν' ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ.

π 1592 Πικεντίνη: ὄνομα τόπου.

π 1593 Πικῆνοι: ὄνομα ἔθνους.

π 1594 Πίκτωρ ὁ καὶ Φάβιος. ζήτει ἐν τῷ Φάβιος.

π 1595 Πιλᾶτος· οὗτος ἐπὶ Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐν τῇ Ἰουδαίᾳ ὑπὸ Ῥωμαίων σταλεὶς ἦρχε· μετὰ δὲ τὴν τοῦ Χριστοῦ σταύρωσιν εἰκόνα τοῦ Καίσαρος καὶ προτομὰς νύκτωρ εἰς τὸ ἱερὸν ἀνέθηκεν· ὄρθρου δὲ γενομένου, Ἰουδαῖοι θεασάμενοι τοσοῦτον ἐταράχθησαν, ὥστε Πιλᾶτον ἐκδειματῶσαι καὶ ταύτας μεταθεῖναι. καὶ δὴ τὸν Κορβωνᾶν τὸν ἱερὸν θησαυρὸν διαφθείρας αἴτιος ἀναιρέσεως πολλῆς καὶ συγχύσεως τοῖς Ἰουδαίοις μίσει τῷ πρὸς αὐτοὺς ἐγένετο· τὴν γὰρ ἐπανάστασιν αὐτῶν ὑφορώμενος, πρὸ τοῦ βήματος αὑτοῦ στρατιώτας παρέστησεν, ἔνδοθεν μὲν ὅπλα φοροῦντας, ἔξωθεν δὲ ἰδιωτικὴν ἐσθῆτα ἀνυπονόητον. ὡς οὖν ἐστασίασαν, ἐπαφῆκε τοὺς στρατιώτας αὐτοῖς, καὶ οἱ μὲν ξύλοις, οἱ δὲ λίθοις αὐτοὺς παίοντες, τραυματίας ἀπέλυσαν· τινὰς δὲ καὶ ἀπέκτειναν. πολλοὶ δὲ αὐτῶν τῶν Ἰουδαίων καὶ ὑπ' ἀλλήλων ὠθούμενοι, συμπατηθέντες ἀπώλοντο. ἐμίχθη δὲ τὸ αἷμα αὐτῶν μετὰ τῶν θυσιῶν. ζήτει περὶ Πιλάτου πλατύτερον ἐν τῷ ὀνόματι Νέρωνος.

π 1596 Πιληθέντα: πυκνωθέντα. σοὶ τὸν πιληθέντα δι' εὐξάντου τριχὸς ἀμνοῦ, Ἑρμᾶ, Καλλιτέλης ἐκρέμασεν πέταλον.

π 1597 Πίλημα περίτροχον: περιφερὲς σκέπασμα.

π 1598 Πιλήσεσι: πυκνώσεσι. τῶν ἀχθοφόρων ζῴων διὰ τὰς πιλήσεις οὐ σθενόντων τὰ πρὸς ἐδωδὴν παράγειν. καὶ αὖθις· Εἰνοδίη, σοὶ τόνδε φίλη ἀνεθήκατο κόρσης πῖλον.

π 1599 Πιλία: τὰ κέντουκλα.

π 1600 Πιλίδιον: τὸ καμηλαύκιον.

π 1601 Πῖλος: τὸ κέντουκλον.

π 1602 Πῖλος: κόσμος περικεφάλαιος, ὃν οἱ μὲν κυρβασίαν, οἱ δὲ τιάραν, ἄλλοι δὲ κίδαριν καλοῦσιν. ἔστι δὲ πῖλος καὶ τάγμα, πρῶτος πῖλος καλούμενος.

π 1603 Πιλῶ: τὸ ὁμαλίζω. καὶ Πιλωτός.

π 1604 Πίλοις: πιλητοῖς. καὶ Πίλημα λέγεται. φοροῦσι δὲ ἐπὶ ταῖς κεφαλαῖς θώρακας πιλητούς, ὧν τὰ κύτη ὑπάρχουσι στερρὰ διὰ τὴν χρηστότητα τῶν πιλημάτων.

π 1605 Πιμελή: πάχος, λιπαρότης. Ἀππιανός· ὃς δὲ πρῶτος ἐξῆρχε τοῦ πόνου, ἑξηκοντούτης ὢν καὶ βαρὺς τὸ σῶμα καὶ πιμελής. ἀντὶ τοῦ λιπαρός. Πιμελὴ καὶ στέαρ διαφέρει, τῷ τὴν πιμελὴν ψυχομένην ἄπηκτον διαμένειν, τὸ δὲ στέαρ καὶ διαπήσσεσθαι, ὥστε καὶ θρύπτεσθαι. ἡ μὲν οὖν πιμελὴ ἄθραυστος· δι' ὃ καὶ οἱ ζωμοὶ τῶν μὲν πιμελωδῶν οὐ πήσσονται, καθάπερ ὑὸς καὶ ἄρκτου καὶ τῶν ἄλλων· οἱ δὲ τῶν στεατωδῶν πήσσονται, ὡς βοός, αἰγός, προβάτων.

π 1606 Πιμπλάνεται: πληροῦται.

π 1607 Πίμπραται: καίεται, ἐμπυρίζεται. Ἀππιανός· ὁ Μάρκιος πιμπράμενος ἐπὶ Ῥωμαίοις, φυγὴν καταδικασθεὶς καὶ μικρὸν ἐς αὐτοὺς οὐδὲν ἐπινοῶν ἐς Βολούσκους ἐτράπετο. καὶ αὖθις· ὁ δὲ τὸν θυμὸν αὐτοῦ εἰδὼς πιμπράμενον.

π 1608 Πῖνα: ὁ ἰχθύς.

π 1609

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πινακηδόν· πινακηδὸν ἀποσπῶν. ὥσπερ πίνακας ἀπὸ πλοίων. πίνακες δὲ αἱ μεγάλαι σανίδες τῶν πλοίων.

π 1610 Πινάκια: τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρονόμων. ἔοικε δὲ ταῦτα εἶναι χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ Περὶ τοῦ ὀνόματος. ἐν δὲ τοῖς Φιλιππικοῖς, ὅταν λέγῃ ὁ ῥήτωρ, μικρὸν, ὦ Ἀθηναῖοι, μικρὸν πινάκιον· τυχὸν πινάκιον λέγει, εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων.

π 1611 Πινακίδιον: δέλτος, τιτλάριον, σχεδάριον.

π 1612 Πινάκιον: πυξίον. οἱ δὲ ἄρχοντες περὶ μέσας νύκτας ἔφερον τὸ ἀπὸ τοῦ στρατηγοῦ πινάκιον.

π 1613 Πινακίοις: ἔθος ἦν τοὺς ταξιάρχους διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν στρατιώταις τὰ δεδογμένα, οἷον ποῦ δεῖ πορεύεσθαι, καὶ πόσων ἡμερῶν δεῖ σιτία προνοεῖσθαι. Ἀριστοφάνης Ὄρνισι· σκοπεῖν δ’, ὅ τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις. ἀπὸ μεταφορᾶς τῶν φυλετῶν, οἵτινες προγράφουσι τοὺς στρατιώτας ἐν πίνακι.

π 1614 Πινακοπώλης: ὁ ὀρνεοπώλης. ὅτι τὰ λιπαρὰ τῶν ὀρνέων ἐπὶ πινάκων τιθέντες ἐπώλουν. ἢ πίναξ, εἶδος ὀρνέου.

π 1615 Πίναξ: σανὶς ἐζωγραφημένη.

π 1616 Πιναρά: εὐτελῆ, ῥυπαρά, ταπεινά.

π 1617 Πίνδαρος, Θηβῶν, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντου· ὃ καὶ μᾶλλον ἀληθές· ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου. τινὲς δὲ καὶ Παγωνίδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικός, γεγονὼς κατὰ τὴν ξε′ ὀλυμπιάδα καὶ κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ′. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Διόφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη. καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ’ εὐχάς· αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ, ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένου αὐτοῦ γόνατα, ἐτῶν νε′. ἔγραψε δὲ ἐν βιβλίοις ιζ′ Δωρίδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, Προσόδια, Παρθένια, Ἐνθρονισμούς, Βακχικά, Δαφνηφορικά, Παιᾶνας, Ὑπορχήματα, Ὕμνους, Διθυράμβους, Σκολιά, Ἐγκώμια, Θρήνους, δράματα τραγικὰ ιζ′, ἐπιγράμματα ἐπικὰ καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι, καὶ ἄλλα πλεῖστα.

π 1618 Πίνδαρος, Σκοπελίνου, Θηβαῖος, καὶ αὐτὸς λυρικός, ἀνεψιὸς τοῦ προτέρου.

π 1619 Περὶ Πινδάρου· ὅτι τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι καὶ πλὴν ἱερῶν τε καὶ ἱερέων τοὺς ἄλλους ἀνδραποδίσαι· καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι ἀπαθεῖς ἐφύλαξεν, αἰδοῖ τῇ Πινδάρου, ὡς φησὶν Ἀρριανὸς ὁ ἱστορικὸς ἐν τῇ α′ Ἀναβάσει Ἀλεξάνδρου.

π 1620 Πινόεσσα: ῥυπῶσα, αὐχμῶσα. θυμοβαρὴς Ἀρετὰ μύρομαι ἑζομένα, ἀπλόκαμος, πινόεσσα, διὰ κρίσιν, ὅτι Πελασγῶν οὐκ ἀρετὰ νικᾶν ἔλλαχεν, ἀλλὰ δόλος.

π 1621 Πίνος. ὁ δὲ ἦν καὶ λέγειν ἱκανός, οὐ τοὺς νεωτέρους ἐκμιμούμενος σοφιστάς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον πίνον τῆς λογογραφίας ἁμιλλώμενος. φησὶ Δαμάσκιος.

π 1622 Πινοτήρης: ὁ τῆς πίνας φύλαξ.

π 1623 Πίνω· αἰτιατικῇ.

π 1624 Πινώδης: ἡ ῥυπαρά.

π 1625 Πινύσκω: πινυτὸν ποιῶ.

π 1626 Πινυτός: φρόνιμος. καὶ Πινυτόφρονος, ἐμμελοῦς συνετῆς. εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς ἤσκησεν, Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1627 Πιξώδαρος· ὅτι Δέξιππος Κῷος, ἰατρός, Ἱπποκράτους μαθητής, μεταπεμφθεὶς ὑπὸ Ἑκατόμνου τοῦ Καρῶν βασιλέως ἰάσασθαι αὐτοῦ τοὺς παῖδας ἀπογνωσθέντας, Μαύσωλον καὶ Πιξώδαρον, ἐπὶ ὑποσχέσει ἰάσατο τοῦ παῦσαι τὸν πρὸς Κᾶρας τότε αὐτοῖς ἐνεστῶτα πόλεμον.

π 1628 Πίομαι, Πίωμεν δέ.

π 1629 Πιόμενον· μυελὸν πιεῖν.

π 1630 Πίονα: εὐδαίμονα, λιπαράν, καὶ εὐτραφῆ.

π 1631 Πίονται, Πίωσι: τὰ παθητικὰ διὰ τοῦ ο μικροῦ, τὰ δὲ ἐνεργητικὰ διὰ τοῦ ω μεγάλου. οἷον πίωμεν καὶ φάγωμεν. πίνοντες τοῦ ὕδατος.

π 1632 Πιότατος ἄνεμος: θρεπτικὸς, αὐξητικός. ἐν Ἐπιγράμμασι τόνδ' ἀνέθηκε τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ.

π 1633 Πίωρ· οὗτος μοναχὸς ὢν περιπατῶν ἤσθιε. πυθομένου δέ τινος, διατί οὕτως ἐσθίεις; οὐ βούλομαι, ἔφη, τῷ βρώματι ὡς ἔργῳ χρήσασθαι, ἀλλ' ὡς παρέργῳ. πρὸς ἄλλον δὲ ἐρωτήσαντα ἀπεκρίνατο· ἵνα μὴ ἐν τῷ ἐσθίειν, φησίν, ἡδονῆς σωματικῆς αἰσθάνοιτο ἡ ψυχή.

π 1634 Πιππίζουσι: κατὰ μίμησιν τῶν ὀρνέων πεποίηται ἡ λέξις. λέγεται δὲ καὶ τὸ ποτίζειν πιππίζειν.

π 1635 Πίμπλαται καὶ Ὑποπίμπλαται· Ἐμπιπλᾷ δέ.

π 1636 Πιπράσκω· γενικῇ.

π 1637 Πίσσα: ὄνομα πόλεως. καὶ ἡ ἄσφαλτος.

π 1638 Πίσεα: οἱ κάθυγροι τόποι. καὶ ἀγλαὰ πίσεα γαίης βόσκεο. καὶ Πισσαῖος, ὁ πολίτης.

π 1639 Πισσεύς: ὄνομα κύριον.

π 1640 Πισία: χώρα.

π 1641 Πισίαν: τρία κνώδαλά φησιν Ἀριστοφάνης, Πισίαν, Ὀσφύωνα, Διϊτρεφῆ.

π 1642 Πισίας: ὄνομα κύριον. ἦν δὲ προδότης.

π 1643 Πισιδία: χώρα. ὁ δὲ Κῦρος ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο, ἐφ' οὓς στρατεύειν προεφασίσατο.

π 1644 Πισινοῦς: πόλις. καὶ Πισινοῦντα, θηλυκόν. καὶ Πισινουνταῖος, ὁ πολίτης.

π 1645 Πισός. καὶ Πινσός· Πεσὸς δὲ παρὰ Προκοπίῳ.

π 1646 Πιστέον: δεῖ πιστεύειν.

π 1647 Πιστεύω· δοτικῇ.

π 1648 Πίστις: ἀδήλου πράγματος ἐλπίς. ἁμαρτάνουσι δὲ οἱ λέγοντες τῆς πίστεως τὴν ὑπόληψιν γένος. ἀκολουθεῖ μὲν γὰρ τῇ πίστει ἡ ὑπόληψις· ἡ γὰρ πίστις ὑπόληψις· ἀδύνατον γὰρ χωρὶς ὑπολήψεως πίστιν γίνεσθαι. οὐ μὴν γένος οἷόν τε τῆς πίστεως τὴν ὑπόληψιν εἶναι· ἐνδέχεται γὰρ τὴν αὐτὴν ὑπόληψιν ἔχοντα ποτὲ μὲν πιστεύειν, ποτὲ δὲ οὔ. ὃ ἀδύνατον ἐπὶ τοῦ γένους· ἀδύνατον γὰρ τὸ αὐτὸ ζῷον ποτὲ μὲν ἄνθρωπον εἶναι, ποτὲ δὲ μή, καὶ τὸ αὐτὸ χρῶμα ποτὲ μὲν λευκὸν εἶναι, ποτὲ δὲ μή· μεταβάλλων γὰρ ὁ ἄνθρωπος οὐδὲ ζῷόν ἐστιν. ὥστε οὐδὲ ἡ ὑπόληψις ἡ αὐτὴ μένοι ἄν, οὐ μετὰ πίστεως οὖσα. καὶ πιστευομένη γὰρ ἔτι ἡ ὑπόληψις μένει· οὐ γὰρ κεκώλυταί τις τὴν αὐτὴν περί τινος ὑπόληψιν ἔχων, ποτὲ μὲν πιστεύειν αὐτῇ, ποτὲ δὲ μή. οἷον ὑπόληψιν ἔχων περὶ ψυχῆς, ὅτι ἀθάνατος, οὐ κεκώλυται ὕστερον διά τινας λόγους μὴ πιστεύειν.

π 1649 Πίστις· ὅτι ἁμάρτημά ἐστι τὸ τὴν πίστιν ἀποδοῦναι σφοδρότητα ὑπολήψεως. καὶ γὰρ οὕτως ὁριζόμενος γένος μὲν λαμβάνει τὴν σφοδρότητα, διαφορὰν δὲ τὴν ὑπόληψιν· ἔχει δὲ ἔμπαλιν· τῆς γὰρ ὑπολήψεως γένους οὔσης, ἡ σφοδρότης ἐστὶ διαφορά· τῶν γὰρ ὑπολήψεων αἱ μέν εἰσι σφοδραί, αἱ δὲ μέτριαι· αὗται γὰρ ὑπολήψεων διαφοραί. καὶ ἔστιν ἡ πίστις ὑπόληψις σφοδρά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1650 Περὶ πίστεως· πίστιν μόνην ὁρίζομεν εἶναι ἀληθῆ καὶ καθαρωτάτην, τὴν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὴν μίαν θεότητά τε καὶ κυριότητα, πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργὸν καὶ βασιλίδα πάσης φαινομένης καὶ νοουμένης κτίσεως. καθ' ἣν ἓν τὰ τρία νοούμενα σέβομεν καὶ τὸ ἓν ἐν τοῖς τρισὶ θεωρούμενον προσκυνοῦμεν, ὧν τὸ μὲν τῇ οὐσίᾳ γνωρίζεται, τὸ δὲ ταῖς ὑποστάσεσι καταγγέλλεται, μηδὲν τούτων ἐλαττοῦντες μηδὲ ὑπερτιθέντες, ἀλλ' ἑνοῦντες μὲν τῇ οὐσίᾳ, ὥσπερ δὴ καὶ ἀξίᾳ καὶ ὁμοτιμίᾳ καὶ δόξῃ, διαιροῦντες δὲ ταῖς ὑποστάσεσιν, εἴτουν προσώποις, καὶ ἰδιότησιν, ἑκάστης τούτων οὐσιωδῶς ὑφεστώσης, ἐν ὑπάρξει ἰδίᾳ ἀμερίστως νοουμένης· ὅπερ παράδοξον· καὶ εἰδότες τὸν μὲν αἴτιον καὶ γεννήτορα καὶ προβολέα τὸν πατέρα, ἄναρχον καὶ ἀναίτιον, ἄχρονον καὶ ἀΐδιον· τὸ δὲ γέννημα καὶ υἱὸν τῷ πατρὶ συνάναρχον καὶ συναΐδιον, ἀναλλοίωτον καὶ ἀπαθῆ καὶ ἄρρουν, ἐκ πατρὸς τὴν γέννησιν ἔχοντα, πρὸς αἴτιον δὲ καὶ ἀρχὴν τὸν πατέρα ἀναφερόμενον· τὸ δὲ ἐκπόρευμα, ἤτοι ἐκπορευτόν, καὶ ἁγιαστικὴν δύναμιν, τὸ πνεῦμα τὸ ἅγιον ἀχρόνως ἀεὶ ἐκ πατρὸς προϊόν, οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς ἔχον τὴν πρόοδον, πατρὶ καὶ υἱῷ συνυπάρχον ἀϊδίως, συμπροσκυνούμενόν τε ὡς σύνθρονον καὶ ὁμότιμον καὶ ὁμόδοξον καὶ ὁμόθεον· δι' οὗ καὶ ἀγγέλοις καὶ ἀνθρώποις καὶ πάσῃ λογικῇ φύσει τὰ θεῖα προχεῖται χαρίσματα. καὶ οὕτω τῆς τρισσοφαοῦς θεαρχίας τὸ ἀπρόσιτον ἡμῖν καὶ ἀειλαμπὲς ἐναστράπτει σέλας. ἐξ ὧν καὶ τὸ ταὐτὸν καὶ ἑνιαῖον τῆς οὐσίας πιστεύεται καὶ τὸ τρισσὸν τῶν προσώπων δοξάζεται, τῶν συγχεόντων δὲ καὶ διαιρούντων τὰ συγχύσεως καὶ διαιρέσεως ἀνεπίδεκτα ἡ ἀθεΐα καὶ ἀτοπία καταβέβληται καὶ κατήργηται.

π 1651 Πιστός: ὁ εὐσεβής.

π 1652 Πιστότης· τοσοῦτον αὐτοῖς ἐνεποίει τῆς βεβαίας ἐλπίδος ἡ τοῦ Μαρκελλίνου περὶ τὰ θεῖα πιστότης. καὶ Πιστεύοντες, ἀντὶ τοῦ θαρροῦντες. ὅτι λέγεται καὶ πιστότης. πάντως δὲ ἐπιτηδεία ἐξ αὐτῆς τῆς συμβάσεως τὴν πιστότητα.

π 1653 Πιστωσάμενος: πίστεις καὶ συνθήκας ποιησάμενος. τὸν δὲ ὁ Σωσίβιος διὰ πλειόνων λόγων πιστωσάμενος καὶ παρασκευάσας εὔνουν ἑαυτῷ.

π 1654 Πιστώσαντες αὐτὸν τοῖς ὅρκοις: ἀντὶ τοῦ ὅρκον ἐξ αὐτοῦ λαβόντες. ὅταν γὰρ λέγωμεν, πιστῶ σε ὅρκῳ, ἀντὶ τοῦ ὅρκον ἐκ σοῦ λαμβάνω· πιστοῦμαί σε δὲ ὅρκῳ, ἀντὶ τοῦ ὅρκον σοι δίδωμι.

π 1655 Πίστρα: ἡ ποτίστρα.

π 1656 Πίσυνος: πεπιστευκώς, τεθαρρηκώς.

π 1657 Πίττα. τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας ἐς τὸ ἀρχαῖόν τε καθισταμένους πάντα. ὅθεν παλαῖστραί τε ἀνήβησαν καὶ σπουδαὶ καὶ τὰ φιλίτια ἐπανῆλθε καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία.

π 1658 Πιττάκειον: μετουσιαστικῶς. τὸ τοῦ Πιττακοῦ. καὶ Σίμων φησί· ἄνδρ' ἀγαθὸν ἀλαθέα γενέσθαι χαλεπόν, τὸ Πιττάκειον. εἴρηκε γὰρ ὁ Πιττακός· χαλεπὸν ἐσθλὸν ἔμμεναι.

π 1659 Πιττακός, Μιτυληναῖος, υἱὸς Καϊκοῦ ἢ Ὑρραδίου Θρᾳκός, μητρὸς δὲ Λεσβίας. οὗτος γέγονε κατὰ τὴν λβʹ ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ζʹ σοφῶν. ἔγραψε νόμους καὶ τῇ μβʹ ὀλυμπιάδι Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε καὶ Φρύνωνα στρατηγὸν Ἀθηναίων πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν ἔφη· ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τούτου ἀπόφθεγμα, καιρὸν γνῶθι. ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χʹ, καὶ ὑπὲρ νόμων καταλογάδην.

π 1660 Πιττακός. καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

π 1661 Πιταναῖος.

π 1662 Πιτηρούμ: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1663 Πιτθεύς, Πιτθέως. δῆμος τῆς Κεκροπίδος ἡ Πιτθίς.

π 1664 Πιτθείδης: πατρωνυμικόν. καὶ Πιτθῆος.

π 1665 Πίτνα: ἐξέτεινε.

π 1666 Πιττουμένων: τὰ σκέλη ἀλειφομένων.

π 1667 Πιτυάνη: ἀσκὸς μικρός.

π 1668 Πιτυάνη εἰμί: αὕτη παρ' Ἀλκαίῳ κεῖται. λέγεται καὶ κατὰ τῶν πυκναῖς συμφοραῖς χρωμένων ἅμα καὶ εὐπραξίαις, παρόσον καὶ τῇ Πιτάνῃ τοιαῦτα συνέβη πράγματα, ὧν καὶ Ἑλλάνικος μέμνηται· φησὶ γὰρ αὐτὴν ὑπὸ Πελασγῶν ἀνδραποδισθῆναι καὶ πάλιν ὑπὸ Ἐρυθραίων ἐλευθερωθῆναι.

π 1669 Πίτυλος: κτυπητής, φαντασιοσκόπος. καὶ Πιτυλεύσας παρ' Ἀριστοφάνει. καὶ Πιτυλίζω, ῥῆμα. οἷον ἔστιν ἰχθύων γένεσιν ἰδεῖν ἐν κολύμβοις πιτυλίζουσαν.

π 1670 Πιτυοῦς: πολίχνιον ἐν πέρατι μὲν θαλάττης τῆς Ποντικῆς κατὰ δεξιὰν κείμενον, τέλος δὲ καὶ τῆς Ῥωμαίων ἀρχῆς γινόμενον, βαρβάροις καὶ ὠμοῖς ἔθνεσι συνάπτον.

π 1671 Πίτυς: εἶδος δένδρου κωνοφόρου, ἡ παρ' ἡμῖν στροβιλέα. Ξενοφῶν· χωρίον πίτυσι διαλειπούσαις μεγάλαις, ἀνθ' ὧν ἑστηκότες ἄνδρες τὶ ἂν πάθοιεν. καὶ Πιτύστεπτος, ὁ Πάν. Πανὸς τειχήεσσα πιτυστέπτοιο καλιή.

π 1672 Πίφλιξ: εἶδος ὄρνιθος.

π 1673 Πλαγάς· Ἠλέκτρα· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον Ἠλέκτρα. πολλὰς δ' ἀντήρεις ᾔσθου στέρνων πλαγὰς αἱμασσομένων.

π 1674 Πλαγία φάλαγξ: ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον.

π 1675 Πλαγίως: δολίως.

π 1676 Πλαγκτή: ἡ πλανωμένη.

π 1677 Πλαγγόνων· τὰ μειράκια θρυπτόμενα παρὰ ταῖς τίτθαις στωμύλλεσθαι καὶ λέγειν περὶ κρόκης καὶ στημόνων καὶ πλαγγόνων ἐάσωμεν.

π 1678 Πλαγωνεία.

π 1679 Πλαδαρόν: χαῦνον, ὑγρόν. πλάδας γὰρ καὶ πλαδώσεις. καὶ Πλαδαρώματα. καὶ Πλαδῶσιν, ὑγροῖς, χαύνοις, ἀσθενέσιν. οὐ γὰρ ἔτι ὀρέγεσθαι τροφῆς, πλαδῶντος αὐτῷ τοῦ στομάχου. τουτέστιν ὑγροῦ καὶ ἀσθενοῦς ὄντος. οὕτω φησὶ Δαμάσκιος. καὶ αὖθις Πολύβιος· τὰ μὲν ἄλλα καλῶς ἔχειν αὐτῷ πρὸς τὴν χρείαν, τὸ δὲ δόρυ πλαδαρὸν εἶναι. καὶ Πλαδόωσαν.

π 1680 Πλαδδιεῖν: παραφρονεῖν, πολεμεῖν, πλησιάζειν.

π 1681 Πλάζοντος: ἀποπλανῶντος. πλάζοντος τοῦ δέους τὰς ὄψεις.

π 1682 Πλάθειν: πλησιάζειν. τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐριστὰ πλάθειν. προσπελάζειν. τουτέστιν οὐχ οἷόντε σε ἐρίζειν τοῖς δυνατοῖς.

π 1683 Πλακιάδαι: δῆμος τῆς Ἀττικῆς· ἔνθα ῥαφανίδες μεγάλαι γίνονται.

π 1684 Πλακίδας: ὄνομα κύριον.

π 1685 Πλακίλλα, γαμετὴ Θεοδοσίου τοῦ μεγάλου· ἥτις εὐσεβὴς καὶ φιλόπτωχος ἦν καὶ δι' ἑαυτῆς τοῖς νοσοῦσι καὶ τοῖς λελωβημένοις ὑπηρέτει. πρώτη δὲ τοῦ ἀνδρὸς ἐτελεύτησεν. ἔδειξε δὲ μάλιστα τὸ περὶ αὐτὴν τοῦ βασιλέως φιλόστοργον ἡ ὀργὴ τοῦ βασιλέως, ἣν κατὰ Ἀντιοχέων ὠργίσθη, δι' ἣν κατέαξαν σύραντες τὴν στήλην, ἀγανακτοῦντες, δι' ὧν ἐπέθηκε τέλη δημόσια ὁ βασιλεὺς ταῖς πόλεσι προφάσει τῶν συνεχῶν πολέμων. ὅτε καὶ ὁ Χρυσόστομος τοὺς Ἀνδριάντας ἔγραψε.

π 1686 Πλακόεις. καὶ τὸν πλακόεντα πίον τυροφόρον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1687 Πλάνη: ἡ τοῦ σκοποῦ ἀπότευξις.

π 1688 Πλάνης· πλάνητος. ὥσπερ πλάνης ἄνθρωπος κατὰ βίου πρόφασιν πορευόμενος. ἀντὶ τοῦ πλανήτης.

π 1689 Πλανήτης: ξένος. καὶ Πλανῆτες, οἱ τῇδε κἀκεῖσε περινοστοῦντες. ὁ Ἡράκλειος ὁ βασιλεὺς λειποταξίου ποινὰς τοὺς πλανήτας τῆς Ῥωμαϊκῆς δυνάμεως εἰσεπράττετο· καὶ ὅσοι τῷ πόνῳ χαίρειν εἰπόντες τηνάλλως δεῦρο κἀκεῖσε περιενόστουν, βασάνοις ἐπὶ σωφροσύνῃ μετήγοντο. Πλανῆτις δὲ θηλυκὸν διὰ τοῦ ι. ζήτει περὶ πλανήτων ἀστέρων ἐν τῷ φαιόν.

π 1690 Πλανῶ· αἰτιατικῇ.

π 1691 Πλανύττομεν: πλανώμεθα. κωμικῶς παρῆκται. Ἀριστοφάνης Ὄρνισι.

π 1692 Πλαξίν· ὅτι ἐν ταῖς θεογράφοις πλαξὶ ταῦτα ἦν γεγραμμένα· ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. α′· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. β′· οὐ ποιήσεις σεαυτῷ εἴδωλον παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. οὐ προσκυνήσεις αὐτοῖς, οὐδ’ οὐ μὴ λατρεύσεις αὐτοῖς. γ′· οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ. δ′· μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν. ε′· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. ϛ′· οὐ μοιχεύσεις. ζ′· οὐ κλέψεις. η′· οὐ φονεύσεις. θ′· οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου ψευδομαρτυρία. ι′· οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου οὐδὲ τὸν ἀγρὸν τοῦ πλησίον σου οὐδὲ τὸν παῖδα αὐτοῦ οὐδὲ τὸν βοῦν αὐτοῦ οὐδὲ τὴν παιδίσκην αὐτοῦ οὔτε τὸ ὑποζύγιον αὐτοῦ οὔθ’ ὅσα τῷ πλησίον σου ἐστίν.

π 1693 Πλάσις: ἀνάμιξις, ἐκτύπωμα, μάλθαξις. καὶ παροιμία· Κηροῦ εὐπλαστότερος. ἐπὶ τῶν εὐχερῶς τι ἀντιλαμβανομένων.

π 1694 Πλάσμα.

π 1695 Πλάστιγξ: τοῦ ζυγοῦ τὸ ἀντίρροπον. καὶ τὸ κατηρτημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπεντίθενται τὰ ζυγά. ἅμα τοῖς τῶν πλαστίγγων ἐπιστάταις ἀποκατέστησε τοῖς Πέρσαις τὰ χρήματα.

π 1696 Πλάστιγξ: τὸ κοῖλον τοῦ κοττάβου, καὶ τοῦ ζυγοῦ. ὅτι Ὅμηρος εἰς τὴν αὐτὴν τίθησι πλάστιγγα τῇ μανίᾳ τὴν μέθην λέγων, Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί, ἃς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων;

π 1697 Πλαταγή: εἶδος ὀργάνου, ἦχον καὶ ψόφον ἀποτελοῦντος. ὁ δὲ πλαταγὴν χαλκευσάμενος ἐπλατάγει.

π 1698 Πλαταγώνιον: τὸ μηδέν. κυρίως δὲ τὸ τῆς μήκωνος φύλλον, καὶ τὸ τῆς ἀνεμώνης. ἀπὸ τοῦ πλατάσσειν, τουτέστιν ἠχεῖν. καταχρηστικῶς δὲ ᾠτινιοῦν πλάτος ἔχοντι. ὅθεν καὶ ἡ πλαταγή. ἐσημειοῦντο δὲ ἀπ’ αὐτοῦ τὴν τῶν ἐρωμένων στοργήν, τιθέντες ἐπί τε τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ καὶ ἀντικόπτοντες. καὶ εἰ μὲν ἤχησεν, ἐστέργοντο· εἰ δὲ μή, τὸ ἀνάπαλιν.

π 1699 Πλαταμῶνος: ὄνομα τόπου.

π 1700 Πλαταιά: πόλις. καὶ Πλάταιαν, ὄνομα πόλεως.

π 1701 Πλαταιεύς· καὶ Πλαταιέα ναῦς. καὶ Πλαταιεῖς, ἐθνικόν.

π 1702 Πλάτη: κώπη, πλάτη, καὶ εἶδος πλοίου. ὥσπερ Παλαμήδης τὰς πλάτας ῥίψω γράφων Ναυπλίῳ.

π 1703 Πλάτη: πλοῖον. πλάτην μυριοφόρον, πύργοις τε καὶ περιφράγμασι παντοίοις κοσμήσας ἄνωθεν, κατὰ ῥεῦμα ἀφίησι.

π 1704 Πλατιάζειν: ἀλαζονεύεσθαι.

π 1705

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πλάτις: ἡ γυνή. παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην. Ἀριστοφάνης Ἀχαρνεῦσι· καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι.

π 1706 Πλάττω· αἰτιατικῇ.

π 1707 Πλάτων, Ἀρίστωνος τοῦ Ἀριστοκλέους καὶ Περικτιόνης ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος· ἕκτη γὰρ ἦν ἀπ' ἐκείνου, παῖς γενομένη Δρωπίδου ποιητοῦ, τοῦ ἀδελφοῦ Σόλωνος. ὁ δὲ Σόλων εἰς Νηλέα ἀναφέρει τὸ γένος. καὶ Ἀρίστων δὲ ὁ Πλάτωνος πατὴρ ἐκ τοῦ Κόδρου γένους κατήγετο, τοῦ Μελάνθου υἱοῦ. ἱστόρηται δέ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ Πλάτωνος ἔγκυος ἐγένετο, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος. καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. ἐτέχθη δ' ἐν Αἰγίνῃ ἐν τῇ πη′ ὀλυμπιάδι μετὰ τὰ προοίμια τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ ἐβίω ἔτη β′ καὶ π′. τελευτᾷ δὲ ἐπὶ τῆς ρη′ ὀλυμπιάδος, οὐδὲ γάμον τινὰ οὐδὲ ὁμιλίαν καθάπαξ σώματος εἰς πεῖραν δεξάμενος· εὐωχήθη δ' ἐν ἑορτῇ καὶ ὑπνῶν ἀπεβίω. καὶ ἕτεροι δὲ ἐγένοντο μετ' αὐτὸν υἱοὶ τῷ Ἀρίστωνι Ἀδείμαντος καὶ Γλαύκων καὶ Ποτώνη θυγάτηρ. καὶ τὰ μὲν πρῶτα γράμματα διδάσκεται παρά τινι Διονυσίῳ, ἐγυμνάσθη δὲ τὰ εἰς παλαίστραν παρ' Ἀρίστωνι τῷ Ἀργείῳ· εἶτα μαθὼν ποιητικὴν γράφει διθυράμβους καὶ τραγῳδίας· ἀπογνοὺς δὲ τούτων ἐφιλοσόφησε παρὰ Σωκράτει ἐπὶ ἔτη κ′. καὶ λόγος, ἰδεῖν Σωκράτην, καθ' ἣν ἡμέραν αὐτῷ παρεδόθη Πλάτων, κύκνον αὐτοῦ τοῖς γόνασιν ἐπικαθήμενον. προσηγορεύετο δὲ Ἀριστοκλῆς, διὰ δὲ τὸ πλατὺς εἶναι τὸ στέρνον Πλάτων ἐπωνομάσθη, ἄλλοι δὲ ὡς πλατὺν ἐν λόγοις Πλάτωνα κληθῆναι. τρὶς δὲ ἐν Σικελίᾳ Πλάτων ἦλθε πρὸς τοὺς τυράννους Διονυσίους· καὶ ἐπράθη ὑπὸ τοῦ τυράννου. ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς καὶ ἀφῆκε. διέτριβε δὲ ἐν τῇ Ἀκαδημίᾳ παιδεύων· καὶ διεδέξαντο τὴν σχολὴν αὐτοῦ καθ' ἕνα οἵδε· Σπεύσιππος, Ξενοκράτης, Πολέμων, Κράντωρ, Κράτης. οἱ δὲ Σωκρατίδες, Ἀρκεσίλαος, Λακύδης, Εὔανδρος Φωκαεύς, Δάμων, Λεοντεύς, Μοσχίων, Εὔανδρος Ἀθηναῖος, Ἡγησίνους, Καρνεάδης, Ἁρμάδας. εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες νϛ′, ὧν οἱ μέν εἰσι φυσιολογικοί, οἱ δὲ ἠθικοί, οἱ δὲ διαλεκτικοί. καὶ ἡ μὲν Πολιτεία διαιρεῖται εἰς βιβλία ι′, οἱ δὲ Νόμοι εἰς ιβ′. τετραλογίαι δὲ λοιπαὶ θ′.

π 1708 Πλάτων, Ἀθηναῖος, κωμικός, γεγονὼς τοῖς χρόνοις κατὰ Ἀριστοφάνην καὶ Φρύνιχον, Εὔπολιν, Φερεκράτην. δράματα δὲ αὐτοῦ κη′ ταῦτα· Ἄδωνις, Ἀφ' ἱέρων, Γρῦπες, Δαίδαλος, Ἑορταί, Ἑλλὰς ἢ Νῆσοι, Εὐρώπη, Ζεὺς κακούμενος, Ἰώ, Κλεοφῶν, Λάϊος, Λάκωνες ἢ Ποιηταί, Μέτοικοι, Μύρμηκες, Μαμμάκυθος, Μενέλεως, Νῖκαι, Νὺξ μακρὰ, Ξάνται ἢ Κέρκωπες, Περιαλγής, Ποιητής, Πείσανδρος, Πρέσβεις, Παιδίον, Σοφισταί, Συμμαχία, Σκευαί, Σύρφαξ, Ὑπέρβολος, Φάων. ἔστι δὲ λαμπρὸς τὸν χαρακτῆρα. ὥς φησιν Ἀθηναῖος ἐν τοῖς Δειπνοσοφισταῖς, ὅτι καὶ Ἀνδροφόνος ἐστὶ δρᾶμα Πλάτωνος καὶ Συνεξαπατῶν καὶ Πανηγυρισταὶ καὶ ἄλλα πλεῖστα.

π 1709 Πλάτων ὁ φιλόσοφος πένης ἦν καὶ μόνον τὸν ἐν Ἀκαδημίᾳ ἐκέκτητο κῆπον, ὃς μέρος ἐλάχιστον ἦν τῶν διαδοχικῶν· ὁ μὲν γὰρ κῆπος ἐγγύς τι χρυσῶν τριῶν νομισμάτων ἀπεδίδου, ἡ δὲ ὅλη πρόσοδος ὕστερον χιλίων ἢ καὶ πλειόνων ὀλίγον. ηὐξήθη δὲ αὕτη κατὰ τοὺς νεωτέρους χρόνους, ἀνθρώπων ἱερῶν τε καὶ φιλολόγων ἄλλοτε ἄλλων ἀποθνησκόντων καὶ κατὰ διαθήκας ἀπολειπόντων τοῖς φιλοσοφοῦσιν ἀφορμὴν τῆς ἐπὶ τῷ φιλοσόφῳ βίῳ σχολῆς καὶ γαλήνης. ὅτι ὁ Πλάτων ἐν Νόμοις φησὶν ἐλευθέραν εἶναι τὴν ψυχὴν καὶ δέσποιναν τῶν παθῶν. τὸ μὲν νικᾶν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ αἴσχιστόν τε καὶ κάκιστον. ἴσμεν γὰρ ὅτι τὰ πάθη τὰ ἐν ἡμῖν οἷον νεῦρα ἢ μήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκουσιν, ἐναντίαι γε οὖσαι ἐπ' ἐναντίας πράξεις. οὐ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται· μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν ἕλξεων ἑπόμενον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις μέτροις ἕκαστον, ταύτην δὲ εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγήν. ἀπέδειξεν οὖν ὁ σοφὸς ὡς τῇ βουλῇ τῆς ψυχῆς ἀπένειμε τὴν τῶν κρειττόνων καὶ χειρόνων διαίρεσιν. ὁ αὐτὸς Πλάτων φησὶ θεολογῶν· τί τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γινόμενον ἀεί, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει τοῦ λόγου περιληπτὸν ἀεὶ κατὰ τὸ αὐτὸ ὄν, τὸ δὲ αἰσθήσει ἀλόγῳ δοξαστὸν γινόμενον μὲν καὶ ἀπογινόμενον, ὄντως δὲ οὐδέποτε ὄν. ταῦτα δὲ πάντα μέρος χρόνου τὸ ἦν καὶ ἔσται, ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν, οὐκ ὀρθῶς· λέγομεν γὰρ δή, ὡς ἦν, ἔστι τε καὶ ἔσται. τὸ δὲ ἔστι μόνον κατὰ τὸν ἀληθινὸν λόγον προσήκει θεῷ, τὸ δὲ ἦν καὶ ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν οὖσαν πρέπει λέγεσθαι, τὸ δὲ ἀεὶ κατὰ ταυτὸν ἀκινήτως οὔτε νεώτερον οὔτε πρεσβύτερον χρὴ λέγεσθαι. καὶ γὰρ τὸ ἀεὶ ὂν καὶ προὸν γενέσεώς ἐστιν ἁπάσης ὑπέρτερον, τὸ δὲ γινόμενον καὶ ἀλλοιώσεις πολλὰς ὑποδεχόμενον εἰκότως ἔφησεν οὐδέποτε εἶναι. καὶ πάλιν ὁ αὐτὸς Πλάτων φησίν· ἀγαθὸς μὲν ὁ θεὸς τῷ ὄντι καί γε λεκτέον αἴτιος τῶν ἀγαθῶν, τὼν δὲ κακῶν ἁπάντων ἀναίτιος. ὁ αὐτὸς ἐν τοῖς Νόμοις δεικνὺς ἡμῖν τὸν τῶν ὅλων πρύτανιν τῶν τοῦ παντὸς οἰάκων ἐπειλημμένον φησίν· ὁ μὲν δὴ θεὸς ἀρχὴν καὶ τελευτὴν καὶ μέσα τῶν πάντων ἔχων εὐθέα περαίνει κατὰ φύσιν περιπορευόμενος, τῷ δὲ ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος, ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σωμάτων εὐμορφίᾳ ἅμα νεότητι καὶ ἀνοίᾳ φλέγεται μεθ’ ὕβρεως, ὡς δὴ οὔτ’ ἄρχοντος οὔτ’ αὖ ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ, καταλειφθεὶς δὲ καὶ ἔτι τοιούτους ἄλλους λαβών, σκιρτᾷ ταράττων πάντα ἅμα καὶ πολλοῖς τισιν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε. διὰ τούτων ὁ φιλόσοφος καὶ τὸν τοῦ παντὸς ἔδειξε κηδεμόνα καὶ τὴν ἐπί τινων μακροθυμίαν καὶ τὴν ἐντεῦθεν τοῖς ἀνοήτοις προσγινομένην λώβην καὶ τὴν ἐς ὕστερον αὐτοῖς ἐπιφερομένην πανωλεθρίαν. ὁ αὐτὸς ἐν τῷ Γοργίᾳ καὶ τῆς τιμωρίας δηλοῖ τὰς αἰτίας λέγων ὡδί· προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι ὑπ’ ἄλλου ὀρθῶς τιμωρουμένου ἢ βελτίων γίνεσθαι καί τι τῷ ὄντι ὀνίνασθαι ἢ παράδειγμα ἄλλοις γίγνεσθαι, ἵν’ ἐκεῖνοι ὁρῶντες πάσχοντα ἃ πάσχει, φοβούμενοι βελτίους γίγνωνται. εἰσὶ δὲ οἱ ὠφελούμενοι μὲν καὶ δίκην διδόντες ὑπὸ θεοῦ καὶ ἀνθρώπων οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμαρτάνωσιν. ὅμως δὲ δι’ ἀλγηδόνων καὶ ὀδυνῶν γίνεται αὐτοῖς ἡ ὠφέλεια κἀνθάδε καὶ ἐν ᾅδου. οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. οἳ δ’ ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι πάμπαν γένωνται, ἐντεῦθεν τὰ παραδείγματα γίνονται, καὶ οὗτοι μὲν οὐκέτι ὀνίνανται οὐδέν, ἅτε ἀνίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες διὰ τὰς τοιαύτας ἁμαρτίας ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας καὶ τὸν ἀεὶ χρόνον ἀτεχνῶς παραδείγματα ἀνηρτημένους. ταῦτα δὲ ἔοικε σεσυληκέναι ἐκ τῶν θείων γραφῶν, διὰ Μωσέως ὑπὸ τοῦ θεοῦ πρὸς τὸν Φαραὼ λεχθέντα· εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου· ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. παμπονήρῳ γὰρ γεγενημένῳ ἐκείνῳ παντοδαπὰς κολάσεις ἐπήνεγκεν ὁ θεός, οὐχ ὥστε ἀποφῆναι βελτίονα (ᾔδει γὰρ αὐτοῦ καὶ τὸν νοῦν ἀντίτυπον καὶ τὸ πάθος ἀνήκεστον), ἀλλ’ ὅπως τὰ περὶ ἐκείνου διηγήματα πᾶσιν ὠφελείας γένωνται παραδείγματα καθάπερ αἱ πόλεις τρέφουσι τοὺς δημίους, οὐκ ἐπαινοῦσαι μὲν αὐτῶν τὴν προαίρεσιν, ἀνεχόμεναι δὲ τῆς τούτων ὑπηρεσίας διὰ τὴν χρείαν καὶ τὰ λοιπὰ δῆλα. ὁ αὐτὸς περὶ τῶν λήξεων καὶ ἀποκληρώσεων τῶν ψυχῶν ἐν τῷ Φαίδωνί φησιν· ὁ μὲν ἀτέλεστος καὶ ἀκάθαρτος εἰς ᾅδην ἀφικόμενος, ἐν βορβόρῳ κείσεται, ὁ δὲ τετελεσμένος καὶ κεκαθαρμένος ἐκεῖ μεταχωρήσας μετὰ θεῶν οἰκήσει. καὶ αὖθις· τὸν μὲν γὰρ δικαίως τὸν βίον διεληλυθότα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ κακῶν ἐκτός, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ κρίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. ταῦτα ἐκ τῶν Αἰγύπτου μεμάθηκε.

π 1710 Πλάτωνος· φυλάττει.

π 1711 Πλατώνειος λόγος: ὁ τοῦ Πλάτωνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1712 Πλατυγίζει: τοῖς πτεροῖς κρούει. πλατυγίζῃ καὶ θαλαττοκοπεῖς. ἄμφω μεγαλορρημοσύνης ῥήματα. ἀντὶ τοῦ πλατύνῃ καὶ ἀλαζονεύῃ. ἀπὸ τοῦ πλατυτέρου μέρους τῆς κώπης, ὃ τῇ θαλάττῃ μᾶλλον προσερείδει καὶ τύπτον τὸ ὕδωρ τῇ εἰρεσίᾳ κτύπον ἀπεργάζεται, ἡ μεταφορά. κυρίως δὲ πλατυγίζειν ἐστὶ τὸ ἐπιτιθέναι τὸ πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ καὶ παίειν τῇ δεξιᾷ καὶ ἦχον ἀποτελεῖν.

π 1713 Πλατύνω· αἰτιατικῇ· πλάτυνον τὸ στόμα σου. δοτικῇ δέ· πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ.

π 1714 Πλατύπιλος κυνῆ περικεφαλαία Θεσσαλίς· περὶ πίλου λέγει.

π 1715 Πλαίσιον: τετράγωνος τάξις στρατεύματος. καὶ τὸ ἐκ ξύλων τετραγώνων πῆγμα, ὅ τινες πλινθίον καλοῦσιν. ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἑτερομήκει σχήματι.

π 1716 Πλαίσια σύμπτυκτα: τὰ τῶν ξύλων τετράγωνα, ὥσπερ πλινθία, ἐν οἷς πλινθεύουσι σύμμικτα πρὸς οὐδέν, ἀλλ' οἷον περιττὰ καὶ σοφά.

π 1717 Πλέα: πλήρη, πεπληρωμένη. ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών. περὶ κύλικός φησιν· ἐπειδὴ μεγάλη ἦν καὶ πλέα.

π 1718 Πλέας: πλείους.

π 1719 Πλέθρα: μέτρα γῆς, ἤγουν ἄρουραι. ἢ τοὺς διύγρους τόπους καὶ βοτανώδεις. ἔχει δὲ τὸ πλέθρον πήχεις ξη′ δίμοιρον.

π 1720 Πλέθρον: τὸ τοῦ σταδίου ἕκτον μέρος, ὅπερ ἐστὶ πηχῶν ξη′· ὅλον γὰρ τὸ στάδιόν ἐστι τετρακοσίων. ἢ πανταχόθεν ἔχον πόδας λη′. καὶ Πλεθριαῖον διάστημα. ὅτι τὸ πλέθρον ἔχει πόδας ρ′. Ξενοφῶν φησι πλεθριαίους φοίνικας φύεσθαι ἐν Βαβυλῶνι ἢ καὶ μείζονας. σταδίου πηχῶν υ′. ὅτι ἐξέδωκεν ἡ πόλις Ἀθηναίων τὰς θυγατέρας Ἀριστείδου, καὶ Λυσιμάχῳ τῷ παιδὶ β′ δραχμὰς τῆς ἡμέρας ἐδίδου καὶ γῆς πεφυτευμένης ἐδωρήσατο ν′ πλέθρα καὶ ἀροσίμης ρ′.

π 1721 Πλέκος: τὸ πλέγμα. τὸ πεπλεγμένον σπυρίδιον. ὡς ἀπὸ τοῦ βλέπω βλέπος, οὐδετέρως, καὶ ἀπὸ τοῦ ῥέω ῥέος. Αἰσχύλος· ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος. οὕτως καὶ πλέκος. Ἀριστοφάνης· ἀπέπτυστ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος. καὶ αὖθις· τί δ', ὦ τάλας γε, τοῦδ' ἔχῃ πλέκους χρέος;

π 1722 Πλεκοῦν: τὸ συνουσιάζειν. παρὰ τὸ πλέκεσθαι. στύοιντ' ἂν ἄνδρες κἀπιθυμοῖεν πλεκοῦν.

π 1723 Πλέκω· αἰτιατικῇ. ὅτι τὸ πλέκειν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν, οὐχ ὡς προηγουμένως τούτου σημαινομένου, ἀλλ' ὁμοίως πολλοῖς συμβολικοῖς σωματοποιοῦντες, καὶ μάλιστα ἐν οἷς τὸ εὐθυρρημονεῖν ἐνίσταται. Ἀριστοφάνης Πλούτῳ· οὐκ ἂν διαλεχθείην διεσπλεκωμένῃ ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.

π 1724 Πλεονεκτῶ: τὸ πλέον ἔχω· γενικῇ· καὶ τῶν Θουκυδίδου λόγων πλεονεκτεῖ. πλεονεκτῶ δὲ τὸ ἀδικῶ· αἰτιατικῇ. ὡς τό, πλεονεκτεῖ ἡμᾶς ὁ διάβολος.

π 1725 Πλεονεξία: ἡ ὑπὲρ τῆς ἐπιθυμίας τοῦ πλείονος βλάβη παρὰ τῷ Ἀποστόλῳ. παρὰ δὲ Διονυσίῳ Ἁλικαρνασεῖ πλεονεξία, ἡ νίκη. οὔθ' ὅσα λάθρα τῶν ἀντιπολεμίων χωρία εἰς πλεονεξίαν εὔθετα σφετερίσασθαι ἤθελον οἱ στρατιῶται.

π 1726 Πλεονεξία: παρὰ τοῖς ῥήτορσιν οὐ μόνον ἐπὶ τῶν παρὰ τὸ δίκαιον ἀξιούντων πλέον ἔχειν καὶ τὸ πλεονεκτεῖν, ἀλλὰ καὶ ἐπὶ τοῦ βελτίονος ἑκάτερον αὐτῶν ἔταξαν, ὅταν τοῦ ἀγαθοῦ πλέον ἔχῃ τις ἑτέρων. Σοφοκλῆς· ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

π 1727 Πλεῦνος: ἀντὶ τοῦ πλείονος. Ἡρόδοτος· ὡς δὲ τοῦ πλεῦνός τε ἐδέετο ἡ πολιορκίη, ἀπηλλάσσοντο.

π 1728 Πλευρῖτις: νόσος.

π 1729 Πλειάς: τὸ ἑξάστερον.

π 1730 Πλεῖαι: αἱ πεπληρωμέναι.

π 1731 Πλεῖν: πλέειν.

π 1732 Πλεῖν: πλέον. Ἀριστοφάνης· καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ’ ἄξιον στατήρων. καὶ αὖθις· ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι. καὶ αὖθις· πολὺ γὰρ ἐμμελέστερον, χέσαι πλεῖν ἢ λʹ ἡμέρας. καὶ αὖθις· πλεῖν ἢ σταδίῳ λαλίστερα Εὐριπίδης. ἀντὶ τοῦ πλέον φλυαρώτερα· ὡς ἐπὶ δρόμου. Ἀριστοφάνης· ἔτ’ ἔστ’ ἐνθάδε μειρακύλλια τραγῳδίας ποιοῦντα πλεῖν ἢ μύρια. καὶ αὖθις· πλεῖν ἑξακοσίους τὸν ἀριθμόν.

π 1733 Πλεῖν ἢ ’νιαυτῷ πρεσβύτερος ἀπέρχομαι: παρὰ τὸ Ὁμηρικόν· αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι. καί, ἐν ὠμῷ γήραϊ θῆκε. διὰ τὴν ἀηδίαν οὖν γηράσκω φησὶν Ἀριστοφάνης· ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω, πλεῖν ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι.

π 1734 Πλείονος: πλειοτέρου.

π 1735 Πλειόνων: τῶν νεκρῶν. ἡ γραῦς ἀνεστηκυῖα παρὰ τῶν πλειόνων.

π 1736 Πλειών, πλειῶνος: ὁ ἐνιαυτός. ἀπὸ τοῦ ἐν αὐτῷ πληροῦσθαι τοὺς καιρούς. ἐκ πολλοῦ πλειῶνος. ἐκ πολλοῦ χρόνου.

π 1737 Πλεισθένης.

π 1738 Πλειστηριάσας: πλείονος πωλήσας, οὗ ὠνήσατο. ἐποίει δὲ τοῦτο καὶ μετάμελος προσεποιεῖτο γεγονέναι, πλειστηριάζων αὐτούς. καὶ Πλειστηριάσαντες, ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων. οὕτως Λυσίας καὶ Πλάτων ὁ κωμικός. Πλειστοβολεῖν λέγουσιν, ὡς ἡμεῖς, Ἀττικοί.

π 1739 Πλειστοδόκεια: ἡ πλείστη δόκησις.

π 1740 Πλεῖστον ὅσον: πολύ.

π 1741 Πλειστώναξ: ὄνομα κύριον.

π 1742 Πλείτω· οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει, ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας.

π 1743 Πληγαί· ὅτι ἐν μʹ ἡμέραις γεγόνασιν αἱ κατ’ Αἴγυπτον πληγαί.

π 1744 Πλῆθος: παρὰ Θουκυδίδῃ καὶ ἐπ’ ὀλίγων λέγεται.

π 1745 Πλήθουσα ἀγορά: ὥρα τρίτη. ἠκροβολίζοντο περὶ πλήθουσαν ἀγοράν. λέγεται καί· πληθυούσης ἀγορᾶς ἐν μέσῳ στὰς εἶπε.

π 1746 Πλήθω· γενικῇ.

π 1747 Πληθώρα: ἡ πλησμονή. καί, πληθωρεῖται (πληθύνεται) ὁ Νεῖλος.

π 1748 Πληθύουσιν: αὐξάνουσι, πλεονάζουσι. χρόνῳ δὲ ὕστερον πληθύουσι τοῖς Μινύαις εἰς ὕβριν ἐχώρουν βασιλείας τε ἀντεποιοῦντο. καί ς’ ὁ πληθύων χρόνος γέρονθ’ ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.

π 1749 Πληϊάς: τὸ ἄστρον.

π 1750 Πλῆκται: πολεμικοί. εἰσὶ δὲ πλῆκται ἀγαθοὶ καὶ παρὰ Βακχαίοις.

π 1751 Πληκτηρίζω.

π 1752 Πλῆκτρον: ὅπερ περιετίθεσαν τοῖς ἀλεκτρυόσι χαλκοῦν ἐν τῷ μάχεσθαι. καὶ παροιμία· αἶρε πλῆκτρον ἀμυντήριον· κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, οἷς μάχονται. πλῆκτρα οὖν τὰ ἐμβαλλόμενα χαλκᾶ τοῖς ἀλεκτρυόσι.

π 1753 Πλημμέλεια.

π 1754

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πλημμελεῖν: τὸ ἀτακτεῖν, καὶ ὑβρίζειν, καὶ ῥᾳθυμεῖν. καὶ πλημμελές, τὸ ἐκμελές, καὶ ῥᾴθυμον, καὶ ἀπαίδευτον. Λύσις· τὸ δὲ ἄχρηστον φίλον ὁμολογεῖν πλημμελές. πλημμελῶς ἂν δόξειε λέγειν. ὁ δὲ διὰ τὸ οἰκεῖον πλημμέλημα ὑπ' ἐμοῦ παυθήσεται τῆς ἀρχῆς. τουτέστι πταῖσμα. τὸν δὲ κεκτημένον τὸ νωτοφόρον ζῷον ὀπίσω τραπέσθαι ἐκέλευον καὶ ἐπανορθοῦσθαι τοῦ πλημμελήματος.

π 1755 Πλήμη: ἡ πλημμύρα τῆς θαλάσσης. καὶ Πλημμυρίς, ἡ ταραχή.

π 1756 Πλῆμναι: αἱ χοινικίδες τοῦ ἅρματος.

π 1757 Πλήν: ἐπίρρημα.

π 1758 Πλῆντο: ἐπληροῦντο. πλήρεσιν ἱστίοις εἰς τὴν αὐτοῦ φιλοσοφίαν ἀφῆκεν. ἀντὶ τοῦ παντὶ σθένει, πάσῃ δυνάμει, ὅλῃ ψυχῇ.

π 1759 Πλήρης: ὁ πεπληρωμένος. καὶ οἱ πλήρεις πληθυντικόν. καὶ πλήρης, ἐπίρρημα.

π 1760 Πληρῶ· αἰτιατικῇ. ὡς τό, ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. πληροῦμαι δὲ γενικῇ· σκότου καὶ δίνης πληροῦται τὰς ὄψεις.

π 1761 Πληρώματα: ὁ τῶν νηῶν φόρτος. ὁ δὲ ἀναλαβὼν τὰ πληρώματα καὶ τοὺς αἰχμαλώτους ἧκεν εἰς τὴν Ῥώμην. Πλήρωμα καὶ οἱ ἐπιβάται. τὴν δὲ ναῦν καταρτίσαντες πληρώματι ἐπιλέκτῳ. καὶ αὖθις· παρεκόμιζον χρείας τοῖς πληρώμασι. καὶ Ἀριστοφάνης· τούτων πλήρωμα τάλαντ' ἐγγὺς ,β'.

π 1762 Πληρωτής· Δημοσθένης κατὰ Ἀριστογείτονος. πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν ἢ ἐωνημένοις. εἶεν δ' ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι.

π 1763 Πλήσσεται.

π 1764 Πλήσσω· αἰτιατικῇ.

π 1765 Πλησιάζω· δοτικῇ.

π 1766 Πλησιαίτερος: ὁ πλησίον ὤν.

π 1767 Πλησίον: ἐγγύς.

π 1768 Πλήσιος: τὰ παρὰ μέλλοντα γινόμενα προπαροξύτονα, τὸ ἀνεψιὸς καὶ δεξιὸς ὀξύνονται. τὸ δὲ πλήσιος ἀπὸ τοῦ πλῆτος, πλήτιος, ὡς ἄμβροτος, ἀμβρόσιος, τροπῇ τοῦ τέλους. οὐ γέγονε δὲ τὸ πλήσιος παρὰ μέλλοντα· οἱ γὰρ Λάκωνες τὰ παρὰ μέλλοντα εἰς τ οὐ τρέπουσιν, ἀλλ' ἀπὸ τῶν εἰς τὸ ς· ἐνιαυτός, ἐνιαύσιος, ἐνιαύτιος λέγουσιν, ὑπόμνημα διδόντες τοῦ πρώτου τ· πλοῦτος, πλούσιος, πλούτιος· τὸ δὲ πλήσιος πλήτιος λέγουσιν. ὥστε οὐ παρὰ μέλλοντα.

π 1769 Πλησίστιος: ὁ φορὸς ἄνεμος· καὶ Πλησίστιον οὐδετέρως. ἄνεμος ὁ πληρῶν τὸ ἄρμενον.

π 1770 Πλησιφαής: ἡ πληροσέληνος ἡμέρα.

π 1771 Πλίγματα: τὰ πατήματα. καὶ πλίξ, τὸ βῆμα. παρὰ Ἀριστοφάνει.

π 1772 Πλινθεύεται: ἐξαπατᾶται. ἀπὸ τῆς ἀναισθησίας τοῦ πηλοῦ.

π 1773 Πλινθεία: ἐκ τοῦ πλινθεύω.

π 1774 Πλινθήϊον: ὁ τόπος, ἐν ᾧ πλίνθοι πλάττονται. οὕτω Λυσίας.

π 1775 Πλινθίον: παρατάξεως εἶδος. αὐτὸς δὲ ἐν πλινθίῳ ἄγων τὴν στρατιὰν βάδην ἐπορεύετο.

π 1776 Πλίνθος. παροιμίαι· Πλίνθους πλύνεις· Χαμαὶ ἀντλεῖς· Φακὸν κόπτεις· ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων καὶ μὴ ὄντων λέγεται.

π 1777 Πλίνθος· ὅτι Ἆγις ὁ Παυσανίου ἐμβαλών ποτε ἐς τὴν Μαντινεικὴν αὐτοὺς μὲν κατέκλεισε, τὸν δὲ παραρρέοντα ποταμὸν ἐς τὸ τεῖχος παρατρέψας παρέλυσεν· ἦν γὰρ ἐξ ὠμῆς πλίνθου, ἥτις πρὸς μὲν τὰς ἑλεπόλεις ἀσφαλεστέρα ἐστὶ τῆς ὀπτῆς καὶ τῶν λίθων. οἱ μὲν γὰρ κατάγνυνται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐκπηδῶσι τῶν ἁρμονιῶν· ἡ δὲ ὠμὴ πλίνθος οὐχ ὁμοίως πονεῖ. διαλύεται δὲ ὑπὸ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ ἡλίου κηρός.

π 1778 Πλινθωτὸν δὲ ἢ πλινθία λέγεται, ὅταν ἐν τετραγώνῳ σχήματι ταυτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου διπλάσιον ἰσόπλευρον καλεῖ.

π 1779 Πλίξ: τὸ βῆμα. παρὰ Ἀριστοφάνει. καὶ πλίγματα, τὰ πατήματα.

π 1780 Πλίξ· ἔνθεν καὶ τὸ περιβάδην, ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος· αἱ δ’ εὖ μὲν τρόχων, εὖ δὲ πλίσσοντο πόδεσσιν. ἔλεγον δὲ πλίξαν καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα· καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.

π 1781 Πλοΐζει: πορεύεται. πλοῦς γὰρ καὶ ἡ ὁδός.

π 1782 Πλοϊκή· καὶ Πλόϊμος θάλασσα.

π 1783 Πλόϊμα: πλευστικά. ἢ τὰ πλῷ πεμπόμενα. ἦρος δὲ ἀρχομένου, ἐπεὶ πλόϊμα εἶναι ἐδόκει, πρῶτον μὲν ἐκπέμπουσι Μαυρουσίων τινάς.

π 1784 Πλοκαμίς. ἀντὶ δέ σοι πλοκαμῖδος, Ἑκηβόλε, κάλλος ἐπείη.

π 1785 Πλόκαμοι.

π 1786 Πλόκιον Γοργάδος: τὸν δοθέντα πλόκαμον τῆς Γοργόνης Ἀστερόπῃ τῇ Κηφέως· καθ’ ὃν χρόνον Κηφεὺς Ἡρακλεῖ συνεστράτευσεν εἰς Λακεδαιμονίαν, ἵνα τούτου ἀποδημοῦντος ἡ πόλις ἀπόρθητος μείνῃ.

π 1787 Πλόκον: πλέγμα ἐκ τριχῶν. Ἄρτεμι, σοὶ πλόκον οἰκείας τόνδ’ ἀνέθηκε κόμης παρθένος, ἱμερτοῦ κειραμένη πλοκάμου.

π 1788 Πλόκον: πλόκαμον. αὕτως ὅπως περ τόνδ’ ἐγὼ τέμνω πλόκον.

π 1789 Πλόος: ὁ πλοῦς.

π 1790 Πλουθυγίειαν: ἔμιξε τὰ δύο Ἀριστοφάνης, δι’ ὧν μάλιστα οἱ ἄνθρωποι χαίρουσι καὶ δοκοῦσι τὸν βίον ἐπανορθοῦσθαι, ἐκ τούτου ἔμφασιν εὐδαιμονίας ἐμφαίνων. εὐδαιμονίαν, βίον, εἰρήνην, νεότητα, γέλωτα. τουτέστι καὶ τὰς ἄλλας ἡδονάς, δι’ ὧν γέλως ἔσται, καὶ χορεῖαι καὶ εὐωχίαι.

π 1791 Πλουθυγίειαν· Ἀριστοφάνης. δώσομεν ὑμῖν αὐτοῖς τε παισὶ παίδων τε παισὶ πλουθυγίειαν, εὐδαιμονίαν, βίον, εἰρήνην, νεότητα, γέλωτα, χορείαν, θαλίας, γάλα ὀρνίθων· ὥστε παρέσται κοπιᾶν ὑμῖν ὑπὸ τῶν ἀγαθῶν. οὕτω πλουτήσετε πάντες.

π 1792 Πλουμβάτοις: μολίβδοις, κατὰ γλῶτταν.

π 1793 Πλούταρχος, Χαιρωνεὺς τῆς Βοιωτίας, γεγονὼς ἐπὶ τῶν Τραιανοῦ τοῦ Καίσαρος χρόνων καὶ ἐπίπροσθεν. μεταδοὺς δὲ αὐτῷ Τραιανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. ἔγραψε δὲ πολλά.

π 1794 Πλούταρχος, Νεστορίου, Ἀθηναῖος, φιλόσοφος, διδάσκαλος Συριανοῦ τοῦ ἐξηγητοῦ γενομένου Πρόκλου τοῦ Λυκίου, τοῦ προστάντος τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς· οὗ Μαρῖνος διάδοχος. ἔγραψε πολλά. ζήτει περὶ τούτου ἐν τῷ Δομνῖνος.

π 1795 Πλουτεῖν ἢ πεινῆν βέλτιον, ἀπὸ τῆς Ἑκάτης ἔσται μαθεῖν.

π 1796 Πλουτοδότειρα.

π 1797 Πλοῦτος· καὶ κτήσασθαι μέν ἐστιν αὐτὸν εὐμαρές, φυλάξασθαι δὲ χαλεπόν. ζήτει ἐν τῷ Ἄτταλος.

π 1798 Πλουτῶ· αἰτιατικῇ.

π 1799

Πλούτων: ὁ ᾅδης. Ἀριστοφάνης· ὁ Πλούτων δίδωσι σχοινίον Αἰσχύλῳ ἐπανιόντι· δὸς τοῦτο Κλεοφῶντι φέρων καὶ τοῦτο τοῖσι πορισταῖς. σύμβολον θανάτου. ἴσως σχοινίον πρὸς ἀγχόνην ἤ τι τοιοῦτον.

π 1800 Πλόχανον: πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται.

π 1801 Πλοχμός: πλόκαμος.

π 1802 Πλωάς: εἶδος ὄρνιθος.

π 1803 Πλωθεύς· Πλωθία δῆμος τῆς Αἰγηΐδος. καὶ ὁ δημότης Πλωθεύς.

π 1804 Πλωΐζω: πλέω. καὶ Πλῴζω, ὁμοίως.

π 1805 Πλώϊμος ἀνήρ.

π 1806 Πλώοντες: πλέοντες.

π 1807 Πλώω: πλέω.

π 1808 Πλώσιμον: διαβατόν. Σοφοκλῆς· μακρὸν τὸ δεῦρο πέλαγος, οὐδὲ πλώσιμον. ἀντὶ τοῦ ἀδιάβατον.

π 1809 Πλωτὴ νῆσος: ἡ πλεομένη.

π 1810 Πλωτῆρες.

π 1811 Πλωτῖνος, Λυκοπολίτης, ἀπὸ φιλοσόφων, μαθητὴς μὲν Ἀμμωνίου τοῦ πρῴην γενομένου σακκοφόρου, διδάσκαλος δὲ Ἀμελίου· οὗ Πορφύριος διήκουσε, τοῦ δὲ Ἰάμβλιχος, τοῦ δὲ Σώπατρος. ἐπὶ δὲ Γαλλιηνοῦ γηραιὸς ὢν διέμεινεν ἄχρι ... καὶ συνέταξε βιβλία νδʹ, ἅτινα κατὰ ἐννέα βίβλους διῄρηται καὶ λέγονται Ἐννεάδες ἕξ. γέγονε δὲ καὶ τὸ σῶμα ἀσθενὴς ὑπὸ τῆς ἱερᾶς νόσου. ἔγραψε καὶ ἄλλα.

π 1812 Πλωτόν: πλεόμενον.

π 1813 Πλῷ χρησάμενος τριταῖος ἐκ τῶν Ἀθηναίων ἐς Μιτυλήνην ἀφῖκται.

π 1814 Πλοῖα κατάφρακτα: σεσανιδωμένα πλοῖα, ὥστε κάτω μὲν τιθέναι τὰ ὅπλα, αὐτοὺς δὲ ἄνω διάγειν.

π 1815 Πλοῖον ἢ κυνῆ: ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων. Ἀριστοφάνης Ὄρνισι. καθὸ ἐπτέρωτο ἡ Ἶρις, καὶ τὰ πτερὰ διατέταται ὥσπερ κῶπαι. ὅτι εἶχε περικεφαλαίαν τὸν πέτασον.

π 1816 Πλύνεται: λοιδορεῖται, αἰσχρῶς ὑβρίζεται. Πλύνειν γὰρ παρὰ τοῖς παλαιοῖς ἀντὶ τοῦ ἐλέγχειν· πλύνειν καταχρηστικῶς τὸ ἐλέγχειν· ὥς που καὶ Μένανδρος· ἐὰν κακῶς μου τὴν γυναῖκα οὕτω λέγῃς, τὸν πατέρα καὶ σὲ τούς τε σοὺς ἐγὼ πλυνῶ. ἀντὶ τοῦ ἐλέγξω.

π 1817 Πλυνός: ὀξυτόνως τὸ ἀγγεῖον αὐτό, παροξυτόνως δὲ τὸ πλυνόμενον. Ἀριστοφάνης Πλούτῳ· οὐχ ὑγιαίνειν μοι δοκεῖς, πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν. ἀντὶ τοῦ ἐφύβριστον πλῦμα.

π 1818 Πλυντήρια: ἑορτὴ Ἀθηναίων.

π 1819 Πλυνοί: πύελοι, ἐν οἷς πλύνουσι.

π 1820 Πνεῦμα: ἡ ψυχὴ τοῦ ἀνθρώπου.

π 1821 Πνεῦμα δώσω αὐτοῖς, πνεῦμα καινόν: οὐ τὸ πανάγιον λέγει, ἀλλὰ τοῦ λογικοῦ τὴν ὁρμήν.

π 1822 Πνευματικὸν σῶμα: φασὶ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς ἐκ τοῦ σώματος ἐξῆφθαι ταύτης σῶμα λεπτομερές, ἀερωδέστερον καὶ αὐγοειδέστερον· ὃ πάντως αἰσθήσεται ἀλγηδόνος. καὶ αὕτη ἡ φλυαρία Ἑλληνική. τούτου δὲ τοῦ σώματος ἀχώριστον εἶναι λέγουσι θυμὸν καὶ ἐπιθυμίαν. ὅτι ἐν τοῖς Τόποις Ἀριστοτέλης πᾶν πνεῦμα φθαρτὸν εἶναι λέγει.

π 1823 Πνευματικὸς ἄνθρωπος· ζήτει ἐν τῷ ψυχικός.

π 1824 Πνευμονία: περὶ τὸν πνεύμονα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1825 Πνεύμονος: τοῦ ἰχθύος.

π 1826 Πνεύμων: λέγεται καὶ διὰ τοῦ λ. ὅτι οὐ πάντα τὰ ζῷα ἔχει φωνήν, μόνα δὲ τὰ ἔχοντα πνεύμονα καὶ ἀναπνέοντα· ὕλη γάρ ἐστι τῆς φωνῆς ὁ ἀναπνεόμενος ἀήρ. οὔτε δὲ τὰ ἔντομα ἀναπνεῖ οὔτε τὰ ἄναιμα οὔτε πάντα τὰ ἀμφίβια φωνοῦσιν οὔτε τὰ ὀστρακόδερμα, οἷον οἱ κοχλίαι, οὔτε τὰ μαλακόστρακα, οἷον καρκίνοι, σκυτάλαι. φωνοῦσι δὲ τῶν ἀμφιβίων ποτάμιος ἵππος καὶ κροκόδειλος· φωνεῖ γὰρ οὗτος κατὰ βραχύ. οἱ δὲ περὶ τὸν Ἀχελῷον ἰχθύες δοκοῦντες φωνεῖν οὐ φωνοῦσιν· οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν, ἀλλὰ κατά τινα τῶν βραγχίων κίνησιν· νηχόμενοι γὰρ κατὰ τὴν τοῦ ὕδατος ἐπιφάνειαν, ἐναπολαμβάνοντες πολὺ ὕδωρ ἐν τοῖς βραγχίοις, εἶτα συστέλλοντες τὰ βραγχία ἐκπέμπουσι τὸ ὕδωρ καὶ ταράττουσι τῇ ἐκπομπῇ· τὸ δὲ ταραττόμενον ἐναπολαμβάνει τινὰ ἀέρα, ὃς ἐκθλιβόμενος τῇ πληγῇ ἠχεῖ, καὶ ταύτῃ δοκοῦσι φωνεῖν. οἱ δὲ τέττιγες δι᾽ ὑμένος τινὸς ὑπὸ τὸ στῆθος κατὰ τὴν ἐπιφάνειαν ἐμπεφυκότος, ὃν θλίβοντες ταῖς πτέρυξι τὸν ἐναπειλημμένον ἀέρα, φωνοῦσιν· οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν. αἱ δὲ μυῖαι τοῖς πτεροῖς τραχέσιν οὖσι πλήττουσι τὸν ἀέρα καὶ ἠχοῦσιν· ἀμέλει σταθεῖσαι οὐκέτι βομβοῦσι. καὶ οἱ σκάροι τῷ στόματι ὕδωρ ἐξωθοῦντες μετὰ ῥοίζου τὸν ἦχον ἀποτελοῦσιν· ἀμέλει ἐν τῷ βάθει ὄντες οὐ φωνοῦσι.

π 1827 Πνέω· γενικῇ. στεναγμῶν πνέων καὶ κλαυθμῶν.

π 1828 Πνεύσας: σφοδρῶς ὀργισθείς. ὁ δὲ νέος ὢν καὶ φιλόνεικος πολὺς ἐπέπνει. ἔτι δὲ τῷ προσπνεύματι συνηλαμένων καὶ μαχομένων ἐκ διαιρέσεως ταῖς μαχαίραις (τουτέστιν ὀργίλως), παρὰ τὰς ἐκ τῶν ὄπισθεν ὑπὸ τὴν μάλην παρέσφαξε.

π 1829 Πνευστιῶν: φυσῶν, ἐμπνέων. ὁ δὲ ἔκειτο πνευστιῶν ἡμίπνους ὑπὸ τοῦ βρόχου.

π 1830 Πνιγεύς: ὁ φοῦρνος, ὁ κρίβανος. κυρίως, ὅπου οἱ ἄνθρακες συμπνίγονται. διὸ ἐπιλέγει· ἡμεῖς δὲ ἄνθρακες.

π 1831 Πνίγει μετρίῳ: συμμέτρῳ καύματι. τουτέστιν ἔαρι. καὶ τὸ πληθυντικὸν τὰ πνίγη.

π 1832 Πνιγηρά: ἡ καυματώδης, καὶ θερμή· πνιγεὺς γὰρ ἡ κάμινος. ἅμα δὲ ὅτι πνίγει τῷ χρόνῳ τὸ σχοινίον καὶ τὸ θρανίον. Ἀριστοφάνης· μία μέν ἐστιν ἀπὸ κάλω καὶ θρανίου. καὶ Ἀρριανός· τὰ δὲ βράχη πρὸς τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβαις πνιγηραῖς.

π 1833 Πνῖγος: καῦμα.

π 1834 Πνοή· λύσις ὀνείρου· δυσωδίαν νόμιζε τὴν ἀηδίαν.

π 1835 Πνύξ, Πνυκὸς ἔδει· ἀλλὰ μεταθέσει στοιχείου Ἀριστοφάνης Πυκνὸς λέγει τὴν γενικήν. καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς Πυκνός.

π 1836 Πνύξ: ἐκκλησία. παρὰ τὴν τῶν λίθων πυκνότητα. ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ.

π 1837 Πνυκός· Ἀριστοφάνης· ὁπότερος σφῶν εὖ με μᾶλλον ἂν ποῇ, τούτῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας. τουτέστι τὴν ἐξουσίαν. τροπικῶς ἀπὸ τῶν ἁρμάτων· ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι· καὶ οἱ δῆμοι διὰ τῶν πολιτευομένων. Πνύξ, Πνυκός, Πνυκί· καὶ καθ᾽ ὑπερβιβασμὸν Πυκνί.

π 1838 Πόα: ἑκάστη βοτάνη οὕτως λέγεται. ἡ δὲ σμήχουσα πόα λέγεται παρὰ Δημοσθένει καὶ Λυσίᾳ. ὡς ἐν πόᾳ πλυνάντων· οὕτω Μαλαχίαν ἐδόξασε.

π 1839 Ποδάγρα· τάφρους ὤρυξε καὶ ποδάγρας ὑφῆκεν ὡς θηρίοις τοῖς πολεμίοις.

π 1840 Ποδαλείριος: ὄνομα κύριον.

π 1841 Ποδαπός: ποίου ἔθνους, ποίας χώρας. φησὶ Ξενοφῶν· ἐρωτώμενος δὲ ποδαπὸς εἴη, Πέρσης ἔφη εἶναι. καὶ αὖθις· ποδαπός; Ἀντιοχεύς. λύσις ὀνείρου Νικηφόρου πατριάρχου· πόδας καθαίρειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φροντίδων δηλοῖ λύσιν. πόδας πλατεῖς ἔχοντα σημαίνει λύπας. ποδῶν κοπέντων, μηδόλως ἄρχου τρίβου.

π 1842 Ποδεῶνας: εἶδος γεωργικόν. καὶ τρητοὺς ποδεῶνας ὁ γατόμος ἄνθετο Δηοῖ Πάρμις, ἀνιηρῶν παυσάμενος καμάτων.

π 1843 Ποδηγέστερον: ὁδηγητικώτερον.

π 1844 Ποδηγός: παιδαγωγός.

π 1845 Ποδήνεμος: ἡ ταχεῖα. αἰθυίης, ξένε, τόνδε ποδηνέμου ἔννεπε τύμβον.

π 1846 Ποδήρης: ἕως τῶν ποδῶν χιτών. οἱ δὲ τὸ συρραπτόμενον εἰς τὸ κατώτερον τῆς στολῆς ἐκ πορφύρας ἢ βύσσου ῥάκιον.

π 1847 Ποδοκάκη: ξύλον, ᾧ ἐν εἱρκτῇ τοὺς πόδας ἐμβάλλοντες συνέχουσιν· ὃ παρὰ Ῥωμαίοις κοῦσπος καλεῖται. ἐν εἱρκτῇ τε καὶ ποδοκάκῃ στρεβλούμενοι καὶ ταλαιπωρούμενοι ἔμενον. λέγεται καὶ Ποδοστράβη. ὡς ἐν ποδοστράβαις τισιν ἐνειργόμενοι τοῖς βόθροις ἐκτείνοντο.

π 1848 Ποδοκάκη: Δημοσθένης κατὰ Τιμοκράτους. τὸ ξύλον τὸ ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο· ἤτοι παρεμβεβλημένου τοῦ ἑτέρου κ, ποδῶν τις κάκωσις οὖσα· ἢ κατὰ συγκοπήν, ὡς Δίδυμος, οἷον ποδοκατοχή.

π 1849 Ποδοστράβη· ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. οὕτως Ὑπερίδης καὶ Ξενοφῶν.

π 1850 Ποδώκεια: ἡ ταχεῖα.

π 1851 Πόδωνος: ὄνομα κύριον.

π 1852 Ποδορρώνη: ὄνομα κύριον.

π 1853 Ποδοῖϊν: ποδῶν.

π 1854 Ποηφάγον θηρίον.

π 1855 Πόηχος: ὄνομα κύριον.

π 1856 Πόθεν: ἀρνητικόν. ἴσον τῷ οὐδαμῶς.

π 1857 Πόθεν. Ποῖ. ἐπὶ πάσης μεταβολῆς τοῦτο ληπτέον, ὥς φησιν Ἀριστοτέλης.

π 1858 Ποθέεσκεν: ἐπόθει, ἐπεζήτει.

π 1859 Ποθεινός.

π 1860 Ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

π 1861 Ποθή: ἡ ἐπιζήτησις.

π 1862 Πόθι: ποῦ.

π 1863 Ποθῶ· αἰτιατικῇ.

π 1864 Πόκος.

π 1865 Πολλά: ἀντὶ τοῦ πάντα εἴωθεν ὁ Θουκυδίδης χρῆσθαι.

π 1866 Πολλά γ’ ἡμᾶς λανθάνει: ἀντὶ τοῦ οὐ πάντα γινώσκομεν τὰ πράγματα.

π 1867 Πολλὰ καινὰ τοῦ πολέμου· Πολύβιος· ὅτι τῆς σελήνης ἐκλειπούσης ἐπὶ Περσέως τοῦ Μακεδόνος ἐκράτησεν ἡ φήμη παρὰ τοῖς πολλοῖς, ὅτι βασιλέως ἔκλειψιν σημαίνει. καὶ τοῦτο τοὺς μὲν Ῥωμαίους εὐθαρσεστέρους ἐποίησε, τοὺς δὲ Μακεδόνας ἐταπείνωσε ταῖς ψυχαῖς. οὕτως ἀληθές ἐστι τὸ περιφερόμενον, ὅτι πολλὰ καινὰ τοῦ πολέμου.

π 1868 Πολλά κεν εἰδείης, οἷς τὸν θεὸν ἐξαπατήσαις: παροιμία πρὸς τοὺς οἰομένους τὸ θεῖον κατασοφίζεσθαι.

π 1869 Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

π 1870 Πολλά τοι σμικροὶ λόγοι ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς: ἀντὶ τοῦ ἀπὸ τῶν τυχόντων καὶ βλάπτονται καὶ ὠφελοῦνται.

π 1871 Πολλαπλᾶ· τὸ ἁπλᾶ καὶ διπλᾶ καὶ πολλαπλᾶ καὶ πάντα τὰ τοιαῦτα περισπῶσιν Ἀττικοί· ἀργυρᾶ, χρυσᾶ καὶ κεραμεᾶ, ἀπὸ τοῦ κεραμεοῦν, καὶ φοινικᾶ, ἀπὸ τοῦ φοινικοῦν.

π 1872 Πολλάς· ἐπιτριβέσθω τυπτόμενος πολλάς, ὡς τὰς Μούσας ἀφανίζων. καὶ ὁ Ἀπόστολος· δαρήσεται πολλάς.

π 1873 Πολλὰ χαίρειν φράσας: ἀποταξάμενος, ἀπογνούς.

π 1874 Πολλαχῶς: τοῦτο διττόν ἐστι. τὸ μὲν ἐν ὀνόμασιν, ἃ ὁμώνυμα καλεῖται, τὸ δὲ ἐν λόγῳ, ἃ εἰώθασιν ἀμφίβολα λέγειν. οἷον τὸ ἀγαθὸν ἄλλως λέγεται κατὰ δικαιοσύνης καὶ ἀνδρείας, ἄλλως δὲ κατὰ τοῦ εὐεκτικοῦ τε καὶ ὑγιεινοῦ· λέγεται γὰρ καὶ ταῦτα ἀγαθά.

π 1875 Πολλαὶ δ’ ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη θυμῷ κατηπείθησαν, ἀλλ’ ὁ νοῦς ὅταν αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα: τουτέστι πολλοὶ ἄνθρωποι πολλὰ ἀπειλήσαντες ἐκ θυμοῦ, πέψαντες τὸν θυμὸν καὶ καθεστηκότα νοῦν ἀναλαβόντες ἐπαύσαντο τῶν ἀπειλῶν.

π 1876 Πολλαῖς πληγαῖς δρῦς δαμάζεται: παροιμία, πρὸς τοὺς δυσαλώτους καὶ δυσκατεργάστους.

π 1877 Πολέας: πολλούς.

π 1878 Πολέμαρχος: ἄρχων, πρὸς ὃν κατηγγυῶντο τοὺς ξένους.

π 1879 Πολέμαρχος: ἀρχή τις ἐστι παρ’ Ἀθηναίοις οὕτω καλουμένη. ἔστι δὲ οὗτος εἷς τῶν θʹ ἀρχόντων. διοικεῖ δὲ οὗτος ἄλλα τε καὶ εἰσάγει δίκας, τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις· καὶ τἄλλα, ὅσα τοῖς πολίταις ὁ Ἄρχων ἐστί, ταῦτα τοῖς μετοίκοις ὁ Πολέμαρχος. ἔστι δὲ καὶ κύριον ὄνομα, ὁ τοῦ Λυσίου ἀδελφός.

π 1880 Πολέμαρχοι: ἀρχή, ἣν συνέβαινε κλείειν τὰς πύλας καὶ τὸν μεταξὺ χρόνον κυριεύειν τῶν κλειδῶν καὶ ποιεῖσθαι τὸ καθ’ ἡμέραν τὴν δίαιταν ἐπὶ τῶν πυλώνων παρ’ Αἰτωλοῖς.

π 1881 Πολεμησείειν: πολεμητικῶς ἔχειν. Θουκυδίδης ἐν τῇ αʹ. ὡς τὸ Ὁμηρικόν, τῷ ῥ’ οἵ γ’ ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο. οὕτως καὶ γαμησείειν Ἀττικοί φασι· καὶ ἄλλας φωνὰς οὕτως σχηματίζουσι.

π 1882 Πολεμησείοντος: πολέμου ἐπιθυμοῦντος. Χοσρόου δὲ πολεμησείοντος ὡς ᾔσθετο Ἰουστινιανός.

π 1883 Πολεμητέα εἶναι ἐν τάχει: ἀντὶ τοῦ δεῖν πολεμεῖν. ἰστεὸν δέ, ὅτι τὰ τοιαῦτα θετικὰ ἐπιρρήματα ἔχουσιν ἐν αὐτοῖς ἢ χρὴ ἢ τὸ δεῖ, οἷον γαμητέον, ἀντὶ τοῦ χρὴ γαμῆσαι, πλευστέον, ἀντὶ τοῦ δεῖ πλεῦσαι, καὶ οὐ παραδοτέα ἀντὶ τοῦ οὐ χρὴ παραδοῦναι. πολεμητέα σφίσιν ἅμα ἦρι ἀρχομένῳ ἐπὶ Ῥωμαίους ἔδοξεν εἶναι. οὕτως ἔγνω διὰ ταῦτα πολεμητέον εἶναι πρὸς Ῥωμαίους.

π 1884 Πολεμίζει· Ἰώσηπος περὶ τῶν στασιωτῶν ἐπὶ τῆς Τίτου πολιορκίας· καὶ τοῦ πολέμου μετ’ ἀδείας ἀντιπολεμίζοντος ἑαυτόν. Πολεμῶ δὲ ῥῆμα.

π 1885 Πολεμιστής: ἐκ τοῦ ποιητικῶς πολεμίζω. καὶ Πολεμιστήριος ἵππος. Πολεμησείοντες δέ.

π 1886 Πολεμῶ· δοτικῇ. πᾶσι μέλεσι πολεμοῦντα διάφορα. αἰτιατικῇ δέ· πολέμησον τοὺς πολεμοῦντάς με.

π 1887 Πολέμων, Φιλοστράτου ἢ Φιλοκράτους, Ἀθηναῖος, φιλόσοφος, μαθητὴς Ξενοκράτους τοῦ Πλάτωνος διαδόχου καὶ αὐτὸς ἡγησάμενος τῆς Ἀκαδημίας. ἐγεγόνει δὲ σφόδρα ἄσωτος· εἶτα ἐφιλοσόφησε. καὶ πολλὰ μὲν συνέγραψε βιβλία, οὐδὲν δὲ αὐτοῦ φέρεται. ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ καὶ ἴσως ἔχειν ἑκάτερον αὐτῶν σοφίας ἔλεγεν· ὥστε καὶ φάσκειν Ὅμηρον μὲν Σοφοκλέα ἐπικόν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν.

π 1888

Πολέμων, Εὐηγέτου, Ἰλιεύς, κώμης Γλυκείας ὄνομα, Ἀθήνησι δὲ πολιτογραφηθείς· διὸ ἐπεγράφετο Ἑλλαδικός· ὁ κληθεὶς Περιηγητής, ἱστορικός. γέγονε δὲ κατὰ Πτολεμαῖον τὸν Ἐπιφανῆ. κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ καὶ διήκουσε καὶ τοῦ Ῥοδίου Παναιτίου. ἔγραψε Περιήγησιν Ἰλίου ἐν βιβλίοις γ′, Κτίσεις τῶν ἐν Φωκίδι πόλεων καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας αὐτῶν, Κτίσεις τῶν ἐν Πόντῳ πόλεων, Περὶ τῶν ἐν Λακεδαίμονι πόλεων· καὶ ἄλλα πλεῖστα· ἐν οἷς καὶ Κοσμικὴν περιήγησιν ἤτοι Γεωγραφίαν.

π 1889 Πολέμων, Λαοδικεύς, ἤγουν ἐκ Λαοδικείας τῆς πρὸς τῷ Λύκῳ ποταμῷ, ῥήτωρ καὶ σοφιστής, σοφιστεύσας ἐν Σμύρνῃ, διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἦν δὲ ἐπί τε Τραιανοῦ καὶ μετ’ αὐτόν. μαθητὴς δὲ ἐγένετο Τιμοκράτους τοῦ ἐξ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ φιλοσόφου καὶ Σκοπελιανοῦ τοῦ σοφιστοῦ. ἐτελεύτησε δὲ ἓξ καὶ πεντήκοντα ἐνιαυτῶν, ἑαυτὸν ἐν τῷ τάφῳ ἐμβαλὼν καὶ ἀποκαρτερήσας διὰ τὸ συνέχεσθαι τῇ ἀρθρίτιδι νόσῳ. διὸ καὶ τῶν συγγενῶν καὶ φίλων θρηνούντων, λέγεται εἰπεῖν πρὸς αὐτοὺς τὸν Πολέμωνα· δότε μοι ἕτερον σῶμα, καὶ μετεμβήσομαι. καὶ τοῖς ἰατροῖς δὲ ἐπὶ συχνῷ τέμνουσιν αὐτὸν ἔλεγεν· ἐκτέμνετε τὰς Πολέμωνος λατομίας ὡς τάχιστα. τούτου τῷ χαρακτῆρι ἠκολούθησε Γρηγόριος ὁ Θεόλογος.

π 1890 Πολέμων, ὁ νεώτερος, σοφιστής. γέγονε καὶ αὐτὸς ἐπὶ Κομόδου.

π 1891 Πολεμώνιος: ὄνομα κύριον.

π 1892 Πολέμωνος: εἶδος ζῴου.

π 1893 Πολεμῶσαι: πολέμιον καταστῆσαι. καὶ Ἐκπολεμῶσαι. ἔστειλαν δὲ οἱ Τοῦρκοι ὡς Ἰουστινιανὸν πρεσβείαν, ἐφ’ ᾧ συνεκπολεμῶσαί γε αὐτὸν Πέρσαις.

π 1894 Πολέμοιο τέρας: τὸν εἰδωλοποιούμενον πόλεμον, τὸν ποιητικὸν τοῦ ἐνεργουμένου πολέμου· ὡς καὶ ἐν ἄλλοις κυδοιμοῦ εἴδωλόν φησιν ἔχειν· ἡ μὲν ἔχουσα Κυδοιμὸν ἀναιδέα δηϊοτῆτος.

π 1895 Πολείδιον: ὄνομα πόλεως.

π 1896 Πολλεῖς: πολλούς.

π 1897 Πόλλης: ὄνομα μάντεως· καὶ κλίνεται Πόλλητος. ὃς συνέγραψε τὸ ἐνόδιον οἰώνισμα, ὅτι ἐὰν ἀπαντήσῃ τις τόδε βαστάζων, τόδε σημαίνει.

π 1898 Πόλλης, Αἰγιεύς, ἀπὸ Αἰγῶν τῆς Ἀσίας· κεῖται δὲ πλησίον Μαγνησίας καὶ Σμύρνης· φιλόσοφος. ἔγραψε κατὰ στοιχεῖον Συμβολικὰ ἐν βιβλίοις β′, Οἰωνοσκοπικὰ ἐν βιβλίοις η′, Ἀριθμητικὰ ἐν βιβλίοις β′, Ἰήματα ἐν βιβλίοις β′, Περὶ τῆς καθ’ Ὅμηρον οἰωνοπολίης, Περὶ τῆς παρὰ Τυρρηνοῖς μαντικῆς, Ἰατροσυμβολικά, Περὶ δρυοκολάπτου, Ἱερὸν λόγον, Κατοικιδίων α′, Θηρευτικόν, Συμπαθειῶν καὶ ἀντιπαθειῶν γ′ Περὶ κεραυνῶν καὶ τῆς αὐτῶν παρατηρήσεως· καὶ ἄλλα.

π 1899 Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.

π 1900 Πολιὰ τοῦ γήρους. καὶ Πολιάς, ἡ Ἀθηνᾶ.

π 1901 Πολίζω: τὸ κτίζω.

π 1902 Πολίειον: πόλις.

π 1903 Πολιήτης: ἀρσενικόν. καὶ Πολιῆτις θηλυκόν. Λαΐδ’ ἔχω πολιῆτιν ἁλιζώνοιο Κορίνθου.

π 1904 Πόλιν· ἐρώτησις· γλῶσσα ποῖ πορεύῃ; ἀπόκρισις· πόλιν ἀνορθώσουσα καὶ πόλιν καταστρέψουσα. ἡ παροιμία ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων ἢ βλαπτόντων.

π 1905 Πολιοκροτάφοιο γέροντος.

π 1906 Πολιόν: τὸ λευκόν. οὔτ’ ὄρος σκιερὸν οὔτε νέφος αἰθέριον οὔτε πολιὸν πέλαγός ἐστιν, ὃ δέξεται τοῦτον φυγόντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1907 Πολιορκῆσαι: τὸ μόνον τῇ πόλει προσκαθεσθῆναι πολεμίους, ἐκπολιορκῆσαι δὲ τὸ τελέως καταλαβεῖν τὴν πόλιν καὶ εἰσελθεῖν.

π 1908 Πολιορκῶ· αἰτιατικῇ. καὶ Πολιορκία: φυλακή.

π 1909 Πολίοχος καὶ Πολυάκης: ὀνόματα κύρια.

π 1910 Πολιούχοις: τοῖς τῶν πόλεων ἄρχουσι.

π 1911 Πόλις: εἶδος παιδιᾶς. καὶ παροιμία· Πόλεις παίζομεν.

π 1912 Πόλις· πόλις δ’ ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων: παρ’ ὅσον οἱ μὲν μηδὲν πεπονθότες ἐπὶ ἀποτροπῇ τοῦ κακοῦ θύουσι καὶ παιᾶνας ᾄδουσιν, οἱ δὲ ἑαλωκότες ἐπ’ οἰκείοις κακοῖς ἀποιμώζουσι.

π 1913 Πόλλις: ὄνομα κύριον.

π 1914 Πολιτεύω· αἰτιατικῇ. καὶ Πολιτεύμασι: ταῖς πολιτείαις· ἢ ταῖς ἄλλαις αἱρέσεσι.

π 1915 Πολιτεία: ἰδίως εἰώθασι τῷ ὀνόματι χρῆσθαι οἱ ῥήτορες ἐπὶ τῆς δημοκρατίας. καὶ Ἰσοκράτης ἐν Πανηγυρικῷ καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς. πολιτεῖαι καὶ αἱ ὁδοί· ζήτει ἐν τῷ βίος.

π 1916 Πολίτης: δῆμος ὁ τῆς πόλεως. καὶ πολῖται.

π 1917 Πολιτικός: ἀστεῖος, μετά τινος τέχνης. γνωμικόν· πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν, συγκλώθειν ἐστὶ τὰ ἀσύγκλωστα. ὅτι πολιτεύεσθαι δεῖ τὸν σοφόν. καὶ γὰρ κακίαν ἐφέξειν, καὶ ἐπ’ ἀρετὴν παρορμῆσαι ἱκανὸς ἔσται.

π 1918 Πολιτισμός· τὸν πολιτισμὸν ἐκτοπίζων ἐν Ἀκαδημίᾳ διέτριβε.

π 1919 Πολιτοκοπεῖν· Δίφιλος.

π 1920 Πολλόν: ὡς ἐπὶ τὸ πλεῖστον. ἐν Μύθοις· τὸ δὲ πολλὸν ἀγηνόρα μέμφετο τίγριν.

π 1921 Λύσις ὀνείρου· πόλον βλέπειν θέοντα, μυστικὸν τόδε.

π 1922 Πόλος: οὐρανός. καὶ Πόλου, οὐρανοῦ ἢ κόσμου. Ἀριστοφάνης· ὀρνίθων πόλος. τὸ μέν τι παραφράζει τὸ προειρημένον τῶν ὀρνίθων, ὅτι τόπος αὐτῶν, ἐν ᾧ διατρίβουσι· τὸ δὲ καὶ πρὸς τὸν σχηματισμὸν τοῦ ὀνόματος παίζει, τόπος καὶ πόλος. ἑξῆς δὲ ἐτυμολογεῖ αὐτὸν ἀπὸ τοῦ πολεῖσθαι. πόλον δὲ οἱ παλαιοί, οὐχ ὡς οἱ νεώτεροι, σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ· καὶ τὸν Ἀτλάντειον φρουρῶν πόλον. αὐτοῦ τε περιπολουμένου, καὶ δι’ αὐτοῦ πάντων ἐρχομένων. ὥσπερ εἴποι τις τόπος. ὅτι δὲ πολεῖται τοῦτο καὶ διέρχεται ἅπαντα, διὰ τοῦτο καλεῖται νῦν πόλος.

π 1923 Πολλός: ἀρσενικόν. ἀντὶ τοῦ πολύς. Ἀρριανός· Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει, Ἡρακλέους δὲ πέρι οὐ πολλός.

π 1924 Πολλοστημόριον: τὸ ἔσχατον μέρος τῆς γῆς.

π 1925 Πολλοστόν: ἐπὶ τάξεως, καὶ μορίου. Δημοσθένης, καὶ ἄλλοι.

π 1926 Πολλοστῷ: ἐσχάτῳ. οὔτε καθ’ ἡλικίαν σου οὔτε ἐς τὰ ἄλλα προὔχοντος, ἀλλὰ τοῖς πᾶσι πολλοστῷ ὄντι.

π 1927 Πολλοῦ: ἀντὶ τοῦ πάνυ. θρασὺς εἶ πολλοῦ. καί, πολλοῦ γε δεῖ.

π 1928 Πολλῷ γε μᾶλλον, κἂν παρῶσι χίλιοι: ἐπὶ τῶν ἐκ παντὸς τρόπου νικήσειν ἐπαγγελλομένων.

π 1929 Πολλοῦ γε καὶ δεῖ: οὐδὲ ὅλως.

π 1930 Πολλοῦ δὴ δέω καὶ λέγειν: σιωπῶ, πόρρω λίαν εἰμὶ τοῦ λέγειν, οὐ βούλομαι λέγειν.

π 1931 Πόλλ’ οἶδ’ ἀλώπηξ, ἀλλ’ ἐχῖνος ἓν μέγα.

π 1932 Πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες: θρίαι καλοῦνται αἱ μαντικαὶ ψῆφοι καὶ τὸ μαντεύεσθαι θριάσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 1933 Πολλοὶ μὲν ἐχθροί, παῦροι δ’ ὠφελήσιμοι.

π 1934 Πολλοί σε μισήσουσιν, ἐὰν σαυτὸν φιλῇς: τοῦτό φασι τὰς Νύμφας πρὸς τὸν Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς τὰς πηγὰς διὰ τὴν οἰκείαν μορφήν.

π 1935 Πολλοὶ στρατηγοὶ Καρίαν ἀπώλεσαν καὶ τὴν Ἁλικαρνασσοῦ πολιορκίαν: ἐπὶ τῶν μὴ ὁμογνωμονούντων.

π 1936 Πολύ: πλεῖστον.

π 1937 Πολυάϊξ: πολυόρμητος.

π 1938 Πολυάκης: ὄνομα κύριον.

π 1939 Πολυάνδριον: μνῆμα, τάφον. τὸ θρυλλούμενον παρὰ πολλοῖς ξενοτάφιον. ὁ δὲ Γαινᾶς ἐξεχώρει τῆς πόλεως, καταλιπὼν αὐτὴν πολυάνδριον καὶ πολυτελῆ τάφον, οὔπω τεθαμμένων τῶν ἐνῳκηκότων. καὶ Αἰλιανός· θάψαντες δὲ τοὺς νεκροὺς εἰργάσαντο κοινὸν πολυάνδριον.

π 1940 Πολυαύλακος: μεγάλου, πλατέος. οὐ πεδίου πολυαύλακός εἰμ’ ὁ γεραιός.

π 1941 Πολύβιος, Λύκου υἱός, ἀπὸ Μεγάλης πόλεως τῆς Ἀρκαδίας, καθηγησάμενος Σκηπίωνος τοῦ Ἀφρικανοῦ, ὅτε καὶ Παναίτιος ὁ φιλόσοφος· γεγονὼς κατὰ Πτολεμαῖον τὸν ἐπικληθέντα Εὐεργέτην. οὗτος ἔγραψε τὴν μακρὰν ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις μʹ. ἄρχεται δὲ ἀπὸ τῆς φυγῆς Κλεομένους τοῦ Σπαρτιάτου καὶ τῆς Φιλίππου τοῦ Περσέως υἱοῦ διαδοχῆς τῶν Μακεδόνων, τὰ ἑξῆς ἐπισυνάπτων Ῥωμαίων. ἰστέον, ὅτι διαδέχεται τὴν Πολυβίου ἱστορίαν Ποσειδώνιος Ὀλβιοπολίτης, σοφιστής. ἔγραψε δὲ καὶ Στράβων Ἀμασεὺς τὰ μετὰ Πολύβιον, ἐν βιβλίοις μγʹ.

π 1942 Πόλυβος: ὄνομα κύριον.

π 1943 Πολυβότειρα: πολλοὺς τρέφουσα.

π 1944 Πολύβοτον: ὄνομα τόπου, ἢ τὸ πολλοὺς τρέφον, λιπαρόν.

π 1945 Πολυγηθής: πολυχαρής.

π 1946 Πολυγλεύκου: πολυοίνου. οὐδὲ πολυγλεύκου γειομόρος βότρυος.

π 1947 Πολύγληνον: πολυόμματον. οἷα πολύγληνον βουκόλον Ἰναχίης. ἐν Ἐπιγράμμασι.

π 1948 Πολύγνωτος· οὗτος ζωγράφος μὲν ἦν τὴν τέχνην, Θάσιος δὲ τὸ γένος, υἱὸς δὲ καὶ μαθητὴς Ἀγλαοφῶντος, τυχὼν δὲ τῆς Ἀθηναίων πολιτείας, ἢ ἐπεὶ τὴν Ποικίλην στοὰν ἀνέγραψε προῖκα, ἢ ὡς ἔνιοι, τὰς ἐν τῷ θησαυρῷ καὶ τὰς ἐν Ἀνακείῳ γραφάς.

π 1949 Πολυδάμας, Σκοτουσσαῖος, παγκρατιαστής· ὃς ἐγένετο μέγιστος τῶν κατ’ αὐτὸν πάντων ἀνθρώπων· ὃς καὶ νέος ὢν ἀπέκτεινε λέοντα ἐν τῷ Ὀλύμπῳ Μακεδονίας, οὐδενὶ ἐσκευασμένος ὅπλῳ. εἰς ἀγέλην δὲ βοῶν εἰσελθὼν ὁ αὐτὸς τὸν μέγιστον καὶ ἀγριώτατον ταῦρον λαβὼν τοῦ ἑτέρου τῶν ὀπισθίων ποδῶν τῆς χηλῆς κατεῖχεν ἄκρας καὶ οὐκ ἀνίει· ὁ ταῦρος πηδῶν ἀφῆκε τε τῷ Πολυδάμαντι τὴν ὁπλήν. ὁ αὐτὸς ἄνδρα ἡνίοχον ἐλαύνοντα σπουδῇ τὸ ἅρμα ἐπέσχε τοῦ πρόσω, λαβόμενος τῇ ἑτέρᾳ τῶν χειρῶν τὸ ἅρμα καὶ στήσας τοὺς ἵππους. τούτου Δαρεῖος ὁ νόθος Ἀρταξέρξου υἱὸς ἀκούσας τὰ ἔργα δώροις ἐλθεῖν παρ’ αὐτὸν ἔπεισε. τρεῖς δὲ τῶν Ἀθανάτων καλουμένων κατὰ πρόσκλησιν μονομαχήσαντας ὁ Πολυδάμας ἀπέκτεινε. ταῦτα τὰ ἔργα ἐπὶ τοῦ ἀνδριάντος ἐδηλοῦτο ἐν Ὀλυμπίᾳ. ἔμελλε δ’ ὑπὸ τῆς ἑαυτοῦ ῥώμης ἀπολέσθαι, ὡς καὶ ἄλλοι οἱ ἐπὶ ἰσχύϊ μέγα φρονήσαντες· ὡς καὶ Ὅμηρος περὶ Ἕκτορος, δαιμόνιε, φθίσει σε τὸ σὸν μένος. ἐσελθόντων γὰρ ἐς σπήλαιον ὥρᾳ θέρους ἅμα τοῖς συμπόταις καὶ τῆς κορυφῆς τοῦ σπηλαίου κατὰ τύχην διαρρηγνυμένης καὶ θάνατον ἀπειλούσης, οἱ μὲν ἄλλοι δρόμῳ φεύγουσιν, αὐτὸς δὲ ἔμεινε, τὰς χεῖρας ἀνασχών, ὡς ἀνθέξων ἐπιπίπτοντι τῷ σπηλαίῳ· καὶ αὐτόθι ἐτελεύτησε.

π 1950 Πολυδαιδάλου: πολλὰ ποικίλματα ἔχοντος.

π 1951 Πολυδεύκης, Ναυκρατίτης. τινὲς δὲ Ἀρδουέννας σοφιστὴν γράφουσι, παίζοντες· πόλις δὲ Φοινίκης ἡ Ἀρδούεννα. ἐπαίδευσε γὰρ ἐν Ἀθήναις ἐπὶ Κομόδου τοῦ βασιλέως καὶ ἐτελεύτησεν ἔτη βιοὺς η′ καὶ ν′, συντάξας βιβλία ταῦτα· Ὀνομαστικὸν ἐν βιβλίοις ι′· ἔστι δὲ συναγωγὴ τῶν διαφόρως κατὰ τοῦ αὐτοῦ λεγομένων· Διαλέξεις ἤτοι λαλιάς, Μελέτας, Εἰς Κόμοδον Καίσαρα Ἐπιθαλάμιον, Ῥωμαϊκὸν λόγον, Σαλπιγκτὴν ἢ ἀγῶνα μουσικόν, Κατὰ Σωκράτους, Κατὰ Σινωπέων, Πανελλήνιον, Ἀρκαδικόν· καὶ ἕτερα. ζήτει ἀγάλματα Κάστορος καὶ Πολυδεύκους ἐν τῷ Διόσκουροι.

π 1952 Πολυδίψιον: ἢ τὸ πολλοῖς ἔτεσι διψῆσαν· ἀπὸ ἱστορίας· ἢ τὸ ἐπιπόθητον.

π 1953 Πολύδωρος: ὄνομα κύριον.

π 1954 Πολύαινος: πολλοῦ ἐπαίνου ἄξιος.

π 1955 Πολύαινος, Σαρδιανός, σοφιστής, γεγονὼς ἐπὶ τοῦ πρώτου Καίσαρος Γαΐου. λόγους δικανικοὺς καὶ δικῶν ἤτοι συνηγοριῶν ὑποτυπώσεις· Θριάμβου Παρθητικοῦ βιβλία γ′· καὶ ἄλλα.

π 1956 Πολύαινος, Μακεδών, ῥήτωρ. Περὶ Θηβῶν, Τακτικὰ βιβλία γ′.

π 1957 Πολύενος: ὁ πολυχρόνιος.

π 1958 Πολύευκτον: τίμιον, πολυπόθητον.

π 1959 Πολύευκτος, κωμικός. τούτου δράματα ἐστιν Ἡνίοχος, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς. κατὰ Πολυεύκτου πατριάρχου· ἐγένετο καὶ καθ’ ἡμᾶς Πολύευκτος, ἀποφράς, ἡμιγύναιος, θεοστυγής, βαρυόργητος, Κωκυτοῦ καὶ Στυγὸς δεινὸν καὶ ὀλέθριον τῷ βίῳ ἐκλόχευμα.

π 1960 Πολύζηλος· ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ· ὅσος παρ’ ὑμῖν ὁ φθόνος φυλάσσεται.

π 1961 Πολύζηλος, κωμικός. δράματα αὐτοῦ Νίπτρα, Δημοτυνδάρεως, Μουσῶν γοναί, Διονύσου γοναί, Ἀφροδίτης γοναί.

π 1962 Πολύζηλος· οὗτος πηρωθείς, ὡς φάσμα θεασάμενος μεῖζον ἢ ὥστε τοῖς ὀφθαλμοῖς ἐνεγκεῖν τῷ Πανὶ κρύπτον τὴν ἀσπίδα (σύμμαχον τὸν Πᾶνα δ’ εἰκάζουσιν εἶναι) ἐμάχετο ὡς ὁρῶν καὶ διέκρινε τῇ φωνῇ τοὺς ἰδίους καὶ τοὺς πολεμίους.

π 1963 Πολυζύγῳ: πολυκαθέδρῳ.

π 1964 Πολυειδής: πολύμορφος. καὶ Πολυειδία, ἡ ποικιλία.

π 1965 Πολύϊδος: ὄνομα κύριον.

π 1966 Πολυήκοος· οὐδὲ ἦν τῶν βιβλίων πολυήκοος, ἀλλὰ ῥώμη γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου ἐν ταῖς ἐξηγήσεσιν ἦν θαυμάσιος. εἶπεν οὖν τις τῶν φοιτητῶν, ὡς οὗτος ὁ ἀνὴρ οὐ φθέγγοιτο λόγους, ἀλλὰ πραγμάτων οὐσίας.

π 1967 Πολύθρονον: πολυφάρμακον. θρόνα γὰρ τὰ ἄνθη. Ὅμηρος· ἐν δὲ θρόνα ποικίλ’ ἔπασσε. τάττεται δὲ καὶ ἐπὶ τοῦ πανούργου.

π 1968 Πολυθρύλητον: πεφημισμένον, διαβεβοημένον, ὀνομαστότατον.

π 1969 Πολυκαγκής: ὁ κατάξηρος τόπος.

π 1970 Πολύκαρπος, Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου ἀκροατής, διάδοχος δὲ Βουκόλου, τοῦ πρώτου ἐπισκοπήσαντος τῆς Σμυρναίων ἐκκλησίας· ὃς καὶ μετ’ αὐτὸν τῆς ἐπισκοπῆς δεύτερος ἐκράτησε καὶ μαρτυρίῳ τῷ ὑπὲρ Χριστοῦ τετελείωται ἐπὶ Μάρκου Ἀντωνίνου. ἔγραψεν ἐπιστολὴν πρὸς Φιλιππησίους πάνυ θαυμαστὴν καὶ πρὸς τὸν μέγαν Διονύσιον τὸν Ἀρεωπαγίτην, καὶ πρὸς ἄλλας ἐκκλησίας. οὗτος διά τινας αἰτίας τοῦ πάσχα, βασιλεύοντος Ἀντωνίνου τοῦ Πίου καὶ ἐπισκοποῦντος τῆς ἐκκλησίας Ῥώμης Ἀνικήτου, ἐπέστη τῇ Ῥώμῃ, ἐν ᾗ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ πολλοὺς τῷ δόγματι Μαρκίωνος καὶ Βαλεντίνου πιστεύσαντας ἀνεκαλέσατο ἀπαντήσαντος δὲ αὐτῷ ἐξ αὐτομάτου Μαρκίωνος καὶ εἰρηκότος· γνώριζε ἡμᾶς, Πολύκαρπε, ἀπεκρίθη· γνωρίζω σε πρωτότοκον τοῦ Διαβόλου υἱόν.

π 1971 Πολυκαρπότατος: τόπος εὔγειος.

π 1972 Πολύκεστος: πολυκέντητος.

π 1973 Πολυκηδέος: πολυφροντίστου.

π 1974 Πολύκλειτος: πάνυ ἔνδοξος. Πολύκλητοι δὲ ἐκ πολλῶν κεκλημένοι τόπων.

π 1975 Πολυκλῇσι: πολυκαθέδραις. καὶ Πολυκληΐσιν ὁμοίως.

π 1976 Πολύκμητος: πολυκάματος.

π 1977 Πολυκράτης, Ἀθηναῖος, ῥήτωρ, δεινός τε καὶ τοὺς κατὰ Σωκράτους λόγους β' Ἀνύτῳ καὶ Μελήτῳ γράψας.

π 1978 Πολυκράτης, ὁ τῆς Κύπρου ἄρχων ἐπὶ Πτολεμαίου τοῦ παιδὸς τυγχάνων πίστιν εἶχε καὶ βίον ἐνάρετον. μετὰ δὲ ταῦτα προβαινούσης ἤδη τῆς ἡλικίας ὁλοσχερῶς εἰς ἀσέλγειαν ἐξώκειλε καὶ βίον ἀπρεπῆ. καὶ κλίνεται Πολυκράτους.

π 1979 Πολύκρημνον: δύσβατον, ὀρεινόν.

π 1980 Πολυκτόριος: ὄνομα τόπου.

π 1981 Πολύκτωρ: ὄνομα κύριον.

π 1982 Πολυκύμονος θαλάσσης.

π 1983 Πολυλήϊος: πολλὰ κτήματα ἔχων.

π 1984 Πολύλιστος: πολυλιτάνευτος.

π 1985 Πολυμάθεια.

π 1986 Πολυμήλη: πολυθρέμματος γῆ.

π 1987 Πολύμητις: πολύβουλος.

π 1988 Πολύμνηστος καὶ Ἀριφράδης καὶ Οἰώνιχος ἀρρητοποιοί. καὶ Πολυμνήστεια δὲ καὶ αὕτη κωμῳδεῖται ἐπὶ αἰσχρότητι. Κρατῖνος· καὶ Πολυμνήστει' ἀείδει μουσικήν τε μανθάνει. Ἀριστοφάνης· ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα λυμαίνεται, οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου. ζήτει Πολύμνηστον ἕτερον ἐν τῷ Βάττος.

π 1989 Πολυωδυνία· καὶ Πολυώδυνος, ὁ ἐν μεγάλῃ θλίψει ὤν.

π 1990 Πολυωπόν: τὸ πολύτρητον δίκτυον. Πολυοπὸν δὲ ἱμάτιον.

π 1991 Πολυωρήσεις: πολλὴν φροντίδα ποιήσεις, φυλάξεις. καὶ Πολυωρία, ἡ ἐπιμέλεια. καὶ αὖθις· ὁ δὲ ἐδεῖτο τοῦ θεοῦ πολυωρίας τυχεῖν τῆς ἐξ αὐτοῦ. καὶ αὖθις Αἰλιανός· δεομένῳ δὲ πολυωρίας τυχεῖν καὶ ῥοπῆς τῆς ἐς τὸ κρεῖττον οὐκ ἐπένευσε.

π 1992 Πολυπάμμονος: πλουσίου.

π 1993 Πολυπίδακα: πολλὰς ἀναβολὰς ἔχουσαν. τουτέστιν ἀναβλύσεις.

π 1994 Πολυπλήθεια.

π 1995 Πολύποδος δίκην: αὐτὸς ἑαυτὸν καταφαγών.

π 1996 Πολύπους· ὅτι ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πίων γενέσθαι. καὶ παροιμία· δὶς ἑπτὰ πληγαῖς πουλύπους πιλούμενος.

π 1997 Πολύποδος ὁμοιότης: πρὸς τοὺς ἐξομοιοῦντάς τισιν ἑαυτούς.

π 1998

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πολυπραγμοσύνη καὶ Πολυπράγμων· ὁ σπουδαῖος οὐκ ἔστι πολυπράγμων. τοῦτο βουλόμενοι δεῖξαι, τὴν πολυπραγμοσύνην μεταλαβόντες εἰς φιλοπραγμοσύνην, ἀνασκευάζομεν τὸ προκείμενον. ὁ μὲν γὰρ πολυπράγμων οὐδέπω φανερὰν ἁμαρτίαν σημαίνειν δοκεῖ, εἴγε πολυπράγμων μέν ἐστιν ὁ ἐν πολλοῖς κυλιόμενος πράγμασι, δύναται δὲ τοῦτο καὶ ἀπὸ τύχης τινι περιγενέσθαι· ὁ δὲ φιλοπράγμων διάθεσιν ἤδη καὶ οἰκειότητα τὴν πρὸς τὰ πράγματα δηλοῖ καὶ σπουδὴν καὶ αἵρεσιν, ὃ ἀλλότριον τοῦ σπουδαίου.

π 1999 Πολυπτύχου: πολλὰς ἀποκλείσεις ἔχοντος, οἷον πτύχας.

π 2000 Πολυποικιλώτατος.

π 2001 Πολυποίτης: ὄνομα κύριον.

π 2002 Πολύρρηνες: πολλὰ θρέμματα ἔχοντες. τὸ Πολύρρηνον, τόπος Κρήτης, ἔνθα τοῖς θεοῖς ἔθυον. καὶ ζήτει ἐν τῷ οἱ Κρῆτες.

π 2003 Πολύς: σφοδρός.

π 2004 Πολυσμαράγοις: ἠχητικοῖς.

π 2005 Πολυσπαθής: ὁ πλειστάκις ὑπὸ σπάθης ἐνεργηθείς. ἐν Ἐπιγράμμασι· πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων.

π 2006 Πολύστρατος· οὗτος αἰτίαν ἔχων τοῦ Ἑρμᾶς περικόψαι ἀνῃρέθη ὑπὸ Ἀθηναίων· οὗ Λυσίας μέμνηται. ἕτερος δέ ἐστιν, ὑπὲρ οὗ λόγον ἔγραψεν ὁ αὐτὸς Λυσίας. ἄλλος δ’ ἂν εἴη, οὗ μνημονεύει Δημοσθένης ἐν Φιλιππικοῖς, λέγων αὐτόν ποτε ἐν Κορίνθῳ ξενικὸν τρέφειν. μήποτε μέντοι ἐνταῦθα δεῖ γράφειν Πολύτροπον, ἀντὶ τοῦ Πολυστράτου. παρὰ μηδενὶ γάρ φησιν ὁ Δίδυμος εὑρηκέναι τὸν Πολύστρατον ἡγησάμενον τοῦ ἐν Κορίνθῳ ξενικοῦ, τὸν μέντοι Πολύτροπον Ἀθηναῖον εἶναι.

π 2007 Πολυσχιδής: πολυμερής. καὶ Πολυσχιδῆ ζῷα, ἄνθρωπος, κύων, λέων καὶ εἴ τι ἄλλο, οἷς συμβέβηκε πολυτοκεῖν.

π 2008 Πολυτελές: δαπανηρόν. Θουκυδίδης. τὸ γὰρ ἔχειν αὐτοὺς πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον πολυτελὲς ἐφαίνετο. καὶ Πολυτελέσι, πολυδαπάνοις. τέλος γὰρ τὸ δαπάνημα. καὶ Πολυτέλεια. ὅτι πολυτελῆ τὰ πολυδάπανα, ὡς ἀτελῆ τὰ ἀδάπανα.

π 2009 Πολυτιμητιζόμενος: θεραπευόμενος.

π 2010 Πολυτίμητος· ἐψηλάφων τοὺς ὑπομνηματισμούς, οὓς ὁ πολυτίμητος Ἡρακλείδης ἧκεν ἔχων. ὁ πολυτιμώρητος.

π 2011 Πολύτλας: πολλὰ ὑπομένων.

π 2012 Πολυφασίας: πολυλογίας.

π 2013 Πολυφλοίσβου: πολυταράχου.

π 2014 Πολυφόρβη: γῆ ἡ πολλοὺς τρέφουσα.

π 2015 Πολυφόρῳ· Ἀριστοφάνης· οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι. ἀντὶ τοῦ πολλά μοι κακὰ ὑφ’ ἕνα καιρὸν φέροντι· ἢ ποικίλῳ. ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου. τουτέστιν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν· πολυφόρον γὰρ ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον, ὀλιγοφόρον δὲ τὸν ὀλίγην. ἢ μεταφορικῶς ἀπὸ τῶν ἀνθέων τῶν δένδρων.

π 2016 Πολυφραδέστερον: συνετὸν ἐν λόγοις.

π 2017 Πολύφρονος.

π 2018 Πολύχουν: πολυφόρητον, ἢ πολυειδῆ.

π 2019 Πολύχους: πεπλουτισμένος. ὁ δὲ Εὐνόμιος ὀλιγομαθῶς μὲν εἶχε περὶ τὰ μαθήματα, πολύχους δὲ ἦν περὶ τὴν λέξιν καὶ τὰ αὐτὰ στρέφων ἀεὶ καὶ μὴ δυνάμενος περιγενέσθαι τοῦ προτεθέντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκοποῦ· ὡς δεικνύουσιν οἱ δʹ τόμοι, οὓς ἐματαιοπόνησεν εἰς τὰς Ἐπιστολάς· πολλοὺς γὰρ λόγους ἐς αὐτὰς ἀναλώσας τῆς ἐπιστολῆς τὸν σκοπὸν ἑλεῖν οὐ δεδύνηται.

π 2020 Πόμα κεκραμένον τρία καὶ δύο: τρία μέρη ὕδατος ἐπιδεχόμενον, οἴνου δὲ δύο. ἀρίστη κρᾶσις, οἴνου δύο μέρη καὶ ὕδατος τρία. Ἀριστοφάνης· ἔχε πιεῖν κεκραμένον τρία καὶ δύο. ἡ Τριτογενὴς αὐτὸν ἐνετριτώνισε. βούλεται δηλοῦν, ὅτι ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δύνασθαι τρία μέτρα φέρειν ὕδατος.

π 2021 Πομπεύει: ὡς νενικηκὼς μεγαληγορεῖ.

π 2022 Πομπεία: λοιδορία. καὶ οἱ δικανικοὶ χρῶνται τῷ ὀνόματι. λέγεται πομπεῖα καὶ τὰ εἰς πομπὰς κατασκευαζόμενα σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τοῖς κατὰ Ἀνδροτίωνος ὑποσημαίνει. Φιλόχορος δέ φησιν, ὡς πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας τῶν λʹ κατασκευασθεῖσιν. ὀψὲ δὲ καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασε.

π 2023 Πομπείας καὶ Πομπεύειν: ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις. Μένανδρος Περινθίᾳ· ἐπὶ τῶν ἁμαξῶν εἰσι πομπεῖαί τινες σφόδρα λοίδοροι.

π 2024 Πομπήϊος· ὅτι Πομπήϊος ὁ Μέγας ἐπικληθείς, ὕπατος καὶ στρατηγὸς Ῥωμαίων, τὸν πρὸς Μιθριδάτην καὶ Τιγράνην πόλεμον ἀνεδέξατο. καὶ τὸν μὲν Μιθριδάτην κατὰ τὴν μικρὰν Ἀρμενίαν νυκτομαχίᾳ κατηγωνίσατο, ὡς τὸ στρατόπεδον αὐτοῦ διαρπάσαι καὶ τρεῖς μυριάδας ὁπλιτῶν καταβαλεῖν. ὁ οὖν Μιθριδάτης γυμνωθεὶς παντάπασι τῆς δυνάμεως διαφεύγειν ἀγαπητῶς ἅμα τῇ γαμετῇ καὶ δύο τισὶν ἀκολούθοις ἱκανὸς γέγονεν· εἶτα καταστασιασθεὶς ὑπὸ τοῦ παιδὸς Φαρνάκου παρὰ τοῖς οἰκείοις στρατιώταις καὶ πρὸς θάνατον ἀναγκαῖον ἐλαθείς, φάρμακον δηλητήριον ἐκπιὼν τελευτᾷ περὶ τὸν Βόσπορον. ὁ δὲ δὴ παῖς αὐτῷ Φαρνάκης γίνεται διάδοχος τῆς ἀρχῆς. ὁ δὲ Πομπήϊος ἐπὶ Τιγράνην ἄγει τὴν στρατιάν. ὁ δὲ Ἀρμένιος διὰ μάχης ἐλθεῖν τοῖς Ῥωμαίοις οὐ λυσιτελὲς ἡγησάμενος, ἐνδιδοὺς ἑαυτὸν ἀφίκετο πρὸς Πομπήϊον καὶ πρὸς τοῖς γόνασιν αὐτοῦ πεσὼν καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελῶν ἐν ταῖς ἐκείνου χερσὶ κατέθετο. οἷς δὴ καμφθεὶς τὸν θυμὸν ὁ Πομπήϊος ἀνίστησί τε αὐτὸν καὶ τὸ διάδημα πάλιν ἀποδίδωσιν, αὐτὸς τῇ τοῦ Ἀρμενίου τοῦτο περιθεὶς κεφαλῇ τά τε ἄλλα διὰ τιμῆς τὸν ἄνδρα ἦγεν, ἀφαιρέσει δὲ ὅμως μέρους τινὸς τῆς ἀρχῆς καὶ χρήμασι πολλοῖς ἐζημίωσε τὸν Ἀρμένιον. Συρίαν τε γὰρ καὶ Φοινίκην ἀπετέμετο καὶ πεντακισχίλια τάλαντα ἀργυρίου τῷ Ῥωμαίων δικαίῳ, ἅτε χειρῶν ἀδίκων ἀρξάμενον, προσηνάγκασε. μετὰ ταῦτα Ἀλβανοὺς ὑπέταξε καὶ τὸν βασιλέα τῶν Ἰβήρων Ἀρσάκην φεύγειν ἠνάγκασε καὶ τὴν μικρὰν Ἀρμενίαν Δηϊοτάρῳ τῷ δυνάστῃ τῆς Γαλατίας ἐδωρήσατο Ἄτταλόν τε καὶ Πυλαιμένεα ἐπὶ τὴν οἰκείαν ἀρχὴν τῆς Παφλαγονίας κατήγαγεν, ἐξεληλαμένους πρὸς τοῦ Μιθριδάτου, Κόλχοις τε ἐφίστησιν ἡγεμόνα. ἐφ’ οἷς Σύρους τε καὶ Ἄραβας κατεστρέψατο καὶ Ἰουδαίους τρίτῳ μηνὶ παρεστήσατο. ἐκ δὲ τῶν τοῦ ἱεροῦ ἀναθημάτων οὐδὲν διήρπασεν, ἀλλὰ πάντα ὑπὸ ἀναγραφὴν ποιησάμενος Ἀριστοβούλῳ παρέδωκεν· Ὑρκανὸν γὰρ ἐς τὴν Ῥωμαίων ἐξέπεμψε δέσμιον.

π 2025 Πομπήϊος, Ῥωμαίων στρατηγός· περὶ οὗ φασιν ὅτι μετὰ τὰς σπονδὰς δειπνεῖν τὸν Καίσαρα καὶ Ἀντώνιον παρὰ Πομπηΐῳ τῷ παιδὶ Πομπηΐου ἐν τῇ στρατηγίδι νηῒ παρασκευασαμένῳ τὸ δεῖπνον· τοῦτον γὰρ ἔφη μόνον αὐτῷ καταλελεῖφθαι πατρῷον οἶκον. ἤδη δὲ ἔνδον ὄντων καὶ τῆς συνουσίας ἀκμαζούσης, Μηνᾶν τὸν πειρατὴν τὰ πλείστου ἄξια τῷ Πομπηΐῳ ὑπηρετοῦντα καὶ τότε προσελθεῖν αὐτῷ ἡσυχῇ καί, βούλει, φάναι, τὰς ἀγκύρας τῆς νηὸς ὑποτεμὼν ποιήσω σε μὴ Σικελίας καὶ Σαρδῶνος, ἀλλὰ τῆς Ῥωμαίων ἡγεμονίας κύριον; τὸν δὲ Πομπήϊον ἀποκρίνασθαι· ἔδει σε, ὦ Μηνᾶ, τοῦτο πεποιηκέναι μὴ προειπόντα ἐμοὶ τὴν ἐπιχείρησιν. νῦν δέ, (οὐ πρὸς ἡμῶν γὰρ ἐπιορκεῖν) τὰ παρόντα στέργωμεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2026 Πομπήν: τὴν πέμψιν, ἀποστολήν. Θουκυδίδης δ′· ξύλων τε ναυπηγησίμων πομπῇ. καὶ Αἰλιανός· καὶ τὸν δράκοντα τὸν ἐκ τῆς θείας πομπῆς ἥκοντα. καὶ ἅμα τῇ κόρῃ παρεσκεύασε πομπὴν ἐπιφανῆ, ἁρμάμαξάν τε λαμπρὰν καὶ ἐσθῆτα σοβαρὰν καὶ θεραπείαν συχνήν.

π 2027 Πομπίλιος: ὄνομα κύριον. καὶ Πομπίλος, ἰχθύς.

π 2028 Πομπόν: συνοδοιπόρον, καὶ προπέμποντα.

π 2029 Πομποστολεῖ: ἐκπέμπει τῇ νηῒ τὸν στόλον.

π 2030 Πομπώνιος: ὄνομα κύριον.

π 2031 Πομφόλυγες: αἱ ἐκ τῶν ὄμβρων ἢ ἄλλως καταφερόμεναι. ὁ δὲ δίκην πομφολύγων ἐκ φύσεως διαλύει τὸ ὕπουλον.

π 2032 Πομφόλυξ: ἐκβρασμὸς ὕδατος.

π 2033 Πομφολυγοπαφλάσμασιν: ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ αἱ φλυκταινώδεις δῖναι. ἀπὸ τοῦ παφλάζειν. ὥσπερ πομφόλυξ ῥαγεῖσα ἀφανίζεται, οὕτω μνήμη ὑπερηφάνου ὄλλυται μετὰ θάνατον.

π 2034 Πονεύμενον: ἐνεργοῦντα.

π 2035 Πονεῖν: ἐνεργεῖν.

π 2036 Πονεῖσθαι: ἐνεργεῖν. Τραιανὸς ὁ βασιλεὺς δίκαιος ἦν καὶ τῷ σώματι ἐρρωμένος μ′ ἄγων ἔτος ἦρξε καὶ ἠβούλετο ἐξίσου πάντα τοῖς ἄλλοις τρόπον τινὰ πονεῖσθαι.

π 2037 Πονηρὰ κατὰ τρυγόνα ψάλλεις: ἐπὶ τῶν μοχθηρῶς καὶ ἐπιπόνως ζώντων. καὶ γὰρ ἡ τρυγών, ἐπειδὰν πεινᾷ, τότε μάλιστα ψάλλει.

π 2038 Πονηρία: ὁ ἐκ κατασκευῆς εἴς τινα παρά του πόνος γινόμενος, παρὰ τῷ Ἀποστόλῳ.

π 2039 Πονηρόπολις· ἔστι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηρούς, ὡς δισχιλίους· ὡς Θεόπομπος ἐν ιγ′ τῶν Φιλιππικῶν.

π 2040 Πόνηρος: ἐπίπονος. ἡ πρώτη ὀξεῖα. ἐπὶ σώματος προπαροξύνεται· ἕλκει πονήρῳ. ἐπὶ δὲ ψυχῆς ὀξυτόνως. λέγεται δὲ καὶ Πονηρὸν ὕδωρ. πονηροῖς κἀκ πονηρῶν εἰς πάντα χρώμεθα, οἷσιν ἡ πόλις πρὸ τοῦ οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως χρήσαιτ’ ἄν. τουτέστι τοῖς λεγομένοις καθάρμασι πόλεως. οὐδὲν πονηρόν, ἀλλ’ ὅπερ καὶ Καλλικῶν. ὁ Καλλικῶν οὗτος προὔδωκε Σάμον, οἱ δὲ Μίλητον. ὡσεὶ εἶπεν, οὐδὲν κακὸν ποιῶ, ἀλλ’ ἱεροσυλῶ. ἐπὶ πονηρίᾳ γὰρ τεθρύλληται ὁ Καλλικῶν οὗτος, ὃς προὔδωκε Μίλητον Πριηνεῦσι. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινων, τί μέλλει ποιεῖν, ἔλεγε, πάντα ἀγαθά. πάντα οὖν ἀγαθά, φησί, ποιῶ, ὡς ἔλεγε Καλλικῶν. ὕστερον μέντοι παρὰ Θεαγένους τινὸς εἰσῆλθεν ὠνησόμενος κρέα. κἀκεῖνος ὑποδεῖξαι ἐκέλευσε, πόθεν κόψαι θέλει. προτείναντος δὲ τὴν χεῖρα, ἀπέκοψε καὶ εἶπε· ταύτῃ τῇ χειρὶ οὐ προδώσεις πόλιν ἑτέραν. μέμνηται δὲ καὶ Καλλίμαχος· μὴ σύ γε, Θειόγενες, κόψας χέρα Καλλικόωντος. προδοὺς δὲ Μίλητον τοῖς πολεμίοις, πυνθανομένου τινός, ὅ τι τοῦτο ἐποίησεν, ἀποκρίνασθαι, ἀγαθὰ Καλλικῶν. καὶ Ἀριστοφάνης φησὶ τοῦ πονηροῦ κόμματος. ἀπὸ τοῦ παρακεκομμένου ἀργυρίου.

π 2041 Πόνηρος· ἔστι παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ· πονήρους γ’ εἶπας ἡμῖν συμμάχους. ἀντὶ τοῦ μοχθηροὺς καὶ ἐπιπόνους, ἀσθενεῖς, ἀπράκτους. ὥς φαμεν, πονήρως ἔχει ἡμῖν τὰ πράγματα. ἢ ἀτυχής, ἄθλιος. ἐπὶ ὄνου πονήρας ὀχούμενος. πόνηρον δὲ λέγει ὁ Ἀπόστολος τὸν ἐκ κατασκευῆς εἴς τινα παρά του πόνον γινόμενον. λέγεται δὲ καὶ Πονηρὸν ὕδωρ, τὸ νοσοποιόν. Πονηροὶ λέγονται καὶ ἐπίπονοι. καὶ παροιμία· Πόνῳ πονηρός, μοχθηρός, σφόδρα πονηρός. διὰ τὸν πόνον κατ’ ἐνέργειαν ὁ ἐπίπονος.

π 2042

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πονήσαντα: ἀντὶ τοῦ παλαιωθέντα. Ἀρριανός· τὰ δὲ πονήσαντα αὐταῖς οὐ χαλεπῶς ἐπεσκευάσθη. καὶ αὖθις· πονουμένῳ αὐτῷ περὶ τῆς βασιλείας τῶν Πάρθων ξυμβάλλουσι δύο τινές.

π 2043 Πόνον: Ὅμηρος ἐπὶ τῆς ἐνεργείας τίθησι. καὶ Πονεῖν, τὸ ἐνεργεῖν.

π 2044 Πόνον σπείρειν: παροιμία ἐπὶ τῶν μάτην πονούντων.

π 2045 Πόνος: σπουδή, ἐπίτασις. καὶ ἦν πόνος μυρίος ἑκάστοις ἐπειγομένοις δρᾶσαι τὸ προσταχθέν, καὶ ἀγώνισμα ἐτίθεντο ἕκαστος ἑαυτοῦ τῆς Περσῶν προθυμίας τε καὶ σπουδῆς.

π 2046 Πόνος πόνῳ πόνον φέρει: λείπει ἡ πρός, ἵν’ ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει. καί ἐστι τὸ μὲν πόνος πόνῳ ἀρχαϊκόν, ὡς ἔργον ἐπ’ ἔργῳ, τὸ δὲ δεύτερον πόνον κοινῶς, οἷον κάματον. καὶ Ὅμηρος· πάντη δὲ κακὸν κακῷ ἐστήρικται. ὁ αὐτὸς Ἀριστοφάνης ἐν Τραχινίαις· νὺξ γὰρ εἰσάγει, καὶ νὺξ ἀπωθεῖται δεδεγμένον πόνον.

π 2047 Ποντίφιξ: ὁ μέγας παρὰ Ῥωμαίοις ἱερεύς, ὃν Νομᾶς ὁ Ῥωμαίων νομοθέτης κατέστησεν, ἡνίκα βιαίῳ ῥεύματι φερόμενος ὁ Θύβρις τὸ πρεσβύτατον ζεῦγμα ἐλάμβανεν. εὐχὰς οὗτος πρὸς τῷ ποταμῷ μειλικτηρίους ποιησάμενος, μὴ διαξῆναι τὴν γέφυραν, ἔπεισε τὸν ποταμὸν ἡσυχῇ καὶ εὐτάκτως ἀνασχέσθαι τοῦ πράγματος. καὶ τοὺς λεγομένους Ποντίφικας καὶ Φλαμινίους τοῖς ἱερεῦσιν ἐπέστησε.

π 2048 Ποντοβρύχους: ὑπὸ θαλάσσης βρεχομένους.

π 2049 Πόντος: κυρίως μὲν ὁ ἔνδον τῆς Χερρονήσου καὶ Εὐξείνου καλούμενος, καταχρηστικῶς δὲ πᾶσα ἡ θάλασσα. καὶ παροιμία. Πόντος ἀγαθῶν, ἐπὶ τῶν πολλῶν ἀγαθῶν καὶ μεγάλων· ὥσπερ ἀγαθῶν θάλασσα. Ἀριστοφάνης· Ποντοπόσειδον. ἀντὶ τοῦ μέγιστε Πόσειδον. ἀπὸ τοῦ πόντου μεταφορικῶς.

π 2050 Ποπάδες· ἡ δὲ μελισσῶν ἀμβροσίη, πυκναί τ’ ἰτρίνεαι ποπάδες.

π 2051 Πόπανα: πλακούντια πλατέα καὶ λεπτὰ καὶ περιφερῆ. ὅτι ἐπὶ τέσσαρσι ποπάνοις ἔθυον βοῦν καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν. Πόπανα εἰδικόν, προθύματα γενικόν.

π 2052 Ποπλικόλας: ὄνομα κύριον. παρὰ Ῥωμαίοις.

π 2053 Πόπλιος· οὗτος φιλοδοξήσας ἐν ἀριστοκρατικῷ πολιτεύματι τηλικαύτην περιεποιήσατο παρὰ μὲν τοῖς ὄχλοις εὔνοιαν, παρὰ δὲ τῷ συνεδρίῳ πίστιν, ὥστε ἐν τῷ δήμῳ κρίνειν τινὸς ἐπιβαλλομένου κατὰ τὰ Ῥωμαίων ἔθη, καὶ πολλὰ κατηγορήσαντος καὶ πικρῶς, ἄλλο μὲν οὐθὲν εἶπε προελθών, οὐκ ἔφη δὲ πρέπον εἶναι τῷ Ῥωμαίων δήμῳ οὐθενὸς ἀκούειν κατηγοροῦντος Ποπλίου Κορνηλίου Σκιπίωνος, δι’ ὃν αὐτὴν τὴν τοῦ λέγειν ἐξουσίαν ἔχουσιν οἱ κατηγοροῦντες. ὧν ἀκούσαντες οἱ πολλοὶ παραχρῆμα διελύθησαν πάντες ἐκ τῆς ἐκκλησίας, ἀπολιπόντες τὸν κατηγοροῦντα μόνον.

π 2054 Πόπλιος· περὶ τούτου τοῦ στρατηγοῦ ζητοῦσί τινες, τίνι τρόπῳ ἐγένετο ἐπιφανέστατος, ἀπὸ ποίας φύσεως ἢ τριβῆς ὁρμηθείς. οἱ μὲν οὖν ἄλλοι πάντες ἐπιτυχῆ τινα καὶ τὸ πλεῖον αἰεὶ παραλόγως καὶ τῷ αὐτομάτῳ κατορθοῦντα τὰς ἐπιβολὰς παρεισάγουσι, νομίζοντες ὡσανεὶ θειοτέρους εἶναι καὶ θαυμαστοτέρους τοὺς τοιούτους ἄνδρας τῶν κατὰ λόγον ἐν ἑκάστοις πραττόντων, ἀγνοοῦντες, ὅτι τὸ μὲν ἐπαινετόν, τὸ δὲ μακαριστὸν εἶναι συμβαίνει τῶν προειρημένων. καὶ τὸ μὲν κοινόν ἐστι καὶ τοῖς τυχοῦσι, τὸ δὲ ἐπαινετὸν μόνον ἴδιον ὑπάρχειν τῶν εὐλογίστων καὶ φρένας ἐχόντων ἀνδρῶν, οὓς καὶ θειοτάτους εἶναι καὶ προσφιλεστάτους τοῖς θεοῖς νομιστέον. ἐμοὶ δοκεῖ Πόπλιος, φησὶν ὁ Πολύβιος, Λυκούργῳ τῷ τῶν Λακεδαιμονίων νομοθέτῃ παραπλησίαν ἐσχηκέναι φύσιν καὶ προαίρεσιν. οὔτε γὰρ Λυκοῦργον ἡγητέον δεισιδαιμονοῦντα καὶ παντὰ προσέχοντα τῇ Πυθίᾳ συστήσασθαι τὸ Λακεδαιμονίων πολίτευμα, οὔτε Πόπλιον ἐξ ἐνυπνίων ὁρμώμενον καὶ κληδόνων τηλικαύτην τῇ πατρίδι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιποιῆσαι δυναστείαν· ἀλλ’ ὁρῶντες ἑκάτεροι τοὺς πολλοὺς τῶν ἀνθρώπων οὔτε παράδοξα προσδεχομένους ῥᾳδίως οὔτε τοῖς δεινοῖς τολμῶντας παραβάλλεσθαι χωρὶς τῆς τῶν θεῶν ἐλπίδος, Λυκοῦργος μὲν αἰεὶ προσλαμβανόμενος ταῖς ἰδίαις ἐπιβολαῖς τὴν ἐκ τῆς Πυθίας φήμην εὐπαραδεκτοτέρας καὶ πιστοτέρας ἐποίει τὰς ἰδίας ἐπινοίας, Πόπλιος δὲ παραπλησίως ὡς μετὰ τῆς θείας ἐπιπνοίας ποιούμενος τὰς ἐπιβολὰς εὐθαρσεστέρους παρεσκεύαζε τοὺς ὑποταττομένους πρὸς τὰ δεινὰ τῶν ἔργων. καὶ μετὰ λογισμοῦ καὶ προνοίας ἔπραττε καὶ πάντα κατὰ λόγον ἐξέβαινε τὰ τέλη τῶν πράξεων αὐτῷ. ἐκεῖνος γὰρ ὅτι μὲν ἦν εὐεργετικὸς καὶ μεγαλόψυχος, ὁμολογεῖται, διότι δ’ ἀγχίνους καὶ νήπτης, τῇ διανοίᾳ περὶ τὸ προτεθὲν ἐντεταμένος, οὐδεὶς ἂν συγχωρήσειε πλὴν τῶν συμβεβιωκότων καὶ τεθεαμένων ὑποστὰς αὐτοῦ τὴν φύσιν. ὧν εἷς ἦν Γάιος Λαίλιος, ἀπὸ νέου μετεσχηκὼς αὐτῷ παντὸς ἔργου καὶ λόγου μέχρι τελευτῆς, ὁ ταύτην περὶ αὐτοῦ δόξαν ἐργασάμενος διὰ τὸ δοκεῖν εἰκότα λέγειν καὶ σύμφωνα τοῖς ὑπ’ ἐκείνου πεπραγμένοις. ὅτι πρώτῳ Ποπλίῳ ἐλλοχήσεως ἀμοιβῆς δεξιῶς γενομένης, ὑπὸ Ῥωμαίων ἐδόθη στέφανος ἀγρώστεως χλωρᾶς. ὅτι ποτὲ νεανίσκοι τινες τῶν Ῥωμαίων ἐπιτυχόντες παρθένῳ κατὰ τὴν ἀκμὴν καὶ τὸ κάλλος διαφερούσῃ τῶν ἄλλων γυναικῶν καὶ συνιδόντες φιλογύνην ὄντα τὸν Πόπλιον ἧκον αὐτὴν ἄγοντες καὶ παραστήσαντες ἔφασκον αὐτῷ δωρεῖσθαι τὴν κόρην. ὁ δὲ καταπλαγεὶς καὶ θαυμάσας τὸ κάλλος, ἰδιώτης μὲν ὢν οὐδεμίαν ἂν ἥδιον ἔφη δέξασθαι ταύτης τῆς δωρεᾶς, στρατηγὸς δ’ ὑπάρχων οὐδ’ ὁποίαν ἧττον, τοῦτ’ αἰνιττόμενος διὰ τῆς ἀποφάσεως, διότι κατὰ μὲν τὰς ἀναπαύσεις ἐνίοτε καὶ ῥᾳθυμίας ἐν τῷ ζῆν ἡδίστας τοῖς νέοις ἀπολαύσεις τὰ τοιαῦτα παρέχεται καὶ διατριβάς, ἐν δὲ τοῖς τοῦ πράττειν καιροῖς μέγιστα γίνεται κατὰ ψυχὴν καὶ κατὰ σῶμα ἐμπόδια τοῖς χρωμένοις. τοῖς μὲν οὖν νεανίσκοις ἔφη χάριν ἔχειν, τὸν δὲ τῆς παρθένου πατέρα καλέσας καὶ δοὺς αὐτὴν ἐκ χειρὸς ἐκέλευε συνοικίζειν ᾧ ποτ’ ἂν προαιρῆται τῶν πολιτῶν. δι’ ὧν καὶ τὰ τῆς ἐγκρατείας καὶ τὰ τῆς μετριότητος ἐμφαίνων μεγάλην ἀποδοχὴν εἰργάζετο τοῖς ὑποταττομένοις.

π 2055 Πόπλιος Σκιπίων, Λευκίου κατὰ φύσιν υἱός, Ποπλίου δὲ τοῦ μεγάλου κληθέντος κατὰ θέσιν υἱωνός, κύριος γενόμενος τῆς Καρχηδόνος, ἥτις ἐδόκει πολυχρημονέστατος τῶν κατὰ τὴν οἰκουμένην εἶναι πόλεων, ἁπλῶς τῶν ἐξ ἐκείνης οὐδὲν εἰς τὸν ἴδιον βίον μετήγαγεν, οὔτ’ ὠνησάμενος οὔτ’ ἄλλῳ τρόπῳ κτησάμενος οὐδέν, καίπερ οὐχ ὅλως εὐπορούμενος κατὰ τὸν βίον, ἀλλὰ μέτριος ὢν κατὰ τὴν ὕπαρξιν, ὡς Ῥωμαῖος, οὐχ οἷον δὲ τῶν ἐξ αὐτῆς τῆς Καρχηδόνος ἀπέσχετο μόνον, ἀλλὰ καὶ καθόλου τῶν ἐκ τῆς Λιβύης οὐδὲν ἐπιμιχθῆναι πρὸς τὸν ἴδιον εἴασε βίον. τοῦτο ἀναμφισβήτητον παρὰ Ῥωμαίοις.

π 2056 Πόπλιος Σκιπίων Ἀφρικανός, τὴν στρατιὰν εὑρὼν διεφθαρμένην ἐπανώρθωσεν. ὃς καὶ τὴν Καρχηδόνα εἰς ἔδαφος καθεῖλε. προσημᾶναι δὲ αὐτῷ τοῦ πολέμου τὸ πέρας τὴν τοῦ ξίφους λαβήν, αἵματι πολλῷ ῥεομένην καὶ πολλάκις μὲν ἀποματτομένην, πλέον δὲ ἀνιεῖσαν ἀεὶ τοῦ αἵματος· τοὺς γὰρ μάντεις πολὺν φόνον τῶν ἐναντίων σημαίνειν τὸ τέρας ὑποκρίνασθαι.

π 2057 Πόπλιος Οὐαλέριος, ὁ συνύπατος Βρούτου, ἄξιος μὲν πολλῶν καὶ ἄλλων ἐπιτηδευμάτων χάριν ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι, μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου. ἢ φιλοσοφία τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτόν, ἣν ἐν πολλοῖς ἐπεδείξατο πράγμασι.

π 2058 Πόππυζε· ἐν Ἐπιγράμμασι· παῖζε μόνη τὸ φίλημα· μάτην πόππυζε σεαυτῇ. ἀντὶ τοῦ κολάκευε, κήλει.

π 2059 Ποππύσματα: κολακεῖαι εἰς τοὺς ἀδαμάστους ἵππους.

π 2060 Πόρδαλις: τὸ ζῷον.

π 2061 Πορεία: τὰ εἰς πορείαν χρήσιμα.

π 2062 Πόριες: νέοι βόες, μόσχοι.

π 2063 Πορίζω· δοτικῇ.

π 2064 Πορίμῳ: ἄνυσιν καὶ ἐπίνοιαν ἔχοντι. ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.

π 2065 Πορισμώτατος. ταύτην ἔδοξεν εἶναι πορισμωτάτην ἐπιβολήν. ἀντὶ τοῦ ἐπικερδῆ. καὶ Πορίσονται, ἀντὶ τοῦ κερδήσουσι.

π 2066 Πορισταί: οἱ τοὺς πόρους εἰσηγούμενοι δημαγωγοὶ ἐπὶ τῷ ἑαυτῶν λυσιτελεῖ.

π 2067 Πορθήσειας: ἕλοις, λάβοις.

π 2068 Πόρθησις: ἐρήμωσις.

π 2069 Πορθμεύειν. εὑρίσκει Νέσσον πορθμεύοντα μισθοῦ καὶ πείθει αὐτόν, ὡς πορθμεύσειεν Ἀλκμήνην καὶ Δηϊάνειραν.

π 2070 Πορθμεῖον: τὸ πλοῖον. Πόρθμιον δὲ τὸ ναῦλον.

π 2071 Πορθμεῖς: οἱ περάται. Ἀριστοφάνης· χαλεπαί γ' ἂν ἦτε γενόμεναι πορθμεῖς. ἕλκοντες τοὺς πλωτῆρας ἀπεκναίετε. ἐπειδὴ οἱ πορθμεῖς τοὺς παριόντας ἀναγκάζουσιν εἰς τὰ ἴδια πλοῖα ἐμβαίνειν.

π 2072 Πορθμήϊον: ὁ μισθὸς τοῦ ναύτου. Καλλίμαχος· τοὔνεκα καὶ νέκυες πορθμήϊον οὔτι φέρονται. ἐν Αἰγιαλῷ γὰρ καταβάσιόν ἐστιν εἰς ᾄδου, εἰς ὃ ἀπελθοῦσα ἡ Δημήτηρ ἔμαθε παρὰ τῶν περιοίκων περὶ τῆς Κόρης καὶ ἐδωρήσατο αὐτοῖς, ὡς λέγει, ἄφεσιν τοῦ πορθμηΐου.

π 2073 Πορθμὶς καὶ Πορθμίδιον. τοῦ δ' Ἀχέροντος ὕδωρ, ὃς πλώεις πορθμίδι κυανέῃ.

π 2074 Πορθμός· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. πόλις ἐστὶ τῆς Εὐβοίας.

π 2075 Πορθμός: πέραμα, ἀμφίγειος θάλασσα. ἰσθμὸς γάρ ἐστι γῆ στενή, ἑκατέρωθεν ἔχουσα θάλασσαν, πορθμὸς δὲ θάλασσα ὑπὸ γῆς περιεχομένη. πορθμὼ δύο ἐστόν, ὁ μὲν ἐφ' Ἑλλησπόντου ἀμφὶ Σηστόν τε καὶ Ἄβυδον, ὁ δὲ δὴ ἕτερος ἐπὶ τοῦ στόματος τοῦ Εὐξείνου Πόντου, οὗ τὸ Ἱερὸν ὀνομάζεται. ἐν μὲν δὴ τῷ Ἑλλησπόντῳ τελωνεῖον ἥκιστα ἦν, ἄρχων δέ τις ἐκ βασιλέως στελλόμενος ἐν Ἀβύδῳ καθῆστο, διερευνώμενος ἕκαστα· ὁ δὲ ἐπὶ πορθμοῦ τοῦ ἑτέρου στελλόμενος μισθὸν ἀεὶ πρὸς βασιλέως κεκομισμένος ᾔει, οὐδὲν πρὸς τῶν τῇδε ναυτιλλομένων κομιζόμενος.

π 2076 Πόρκης: ὁ ἐπιδακτύλιος τῆς ἐπιδορατίδος, ὁ περιεργνύων αὐτὴν πρὸς τὸ ξύλον. καὶ κλίνεται πόρκου.

π 2077 Πόρκος: κύρτος θαλάσσιος, ὁ εἰς ἄγραν ἰχθύων.

π 2078 Πορνεῖα: τόπος, ἔνθα αἱ πόρναι διάγουσιν. ἐς τὰ πορνεῖα ἐσιόνθ' ἑκάστοτε. Ἀριστοφάνης.

π 2079 Πορνεία: ἡ εἰδωλολατρεία. καὶ Πόρνος, ὁ εἰδωλολάτρης. παρὰ τὸ πόρρω νεύειν. ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ· ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι. Πορνεία καὶ ἡ ἀκολασία. παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν.

π 2080 Πορνεύω.

π 2081 Πορνίδιον: ἡ μικρὰ παῖς.

π 2082 Πόρον: διέξοδον, τρίβον καὶ περαίωσιν ποταμοῦ.

π 2083 Πόρος: πέρας, ἢ ποταμός, ἢ ὁδός, ἢ φυσήματα ὑδάτων, ἢ μηχανή, ἢ τεχνάσματα. ἢ διάβασις. Ἀριστοφάνης· τίς πόρος σοὶ τῆς ὁδοῦ γενήσεται. ἀντὶ τοῦ διάβασις. καὶ Πόροι ἁλιρρόθιοι, ποταμοὶ εἰς θάλασσαν ῥέοντες. ὅτι πόρος κυρίως ἐπὶ ὑγρῶν λέγεται. καὶ εὔπορος, ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον, ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου.

π 2084 Πόρος· Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. δῆμός ἐστι τῆς Ἀκαμαντίδος ὁ Πόρος. καὶ ὁ δημότης Πόριος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2085 Πόρρω: ἐπὶ χρόνου τάσσεται. ὡς δὲ πόρρω ἦσαν τοῦ πίνειν, τότε δὴ μύρον μέν τις περιήνεγκεν· οἱ δὲ ἐχρίοντο.

π 2086 Πόρρω Διός τε καὶ κεραυνοῦ: διὰ τὸ τοὺς ἐπιβούλους τοῖς συνοῦσι χρωμένους, ἀδεέστερον εἶναι λέγουσα τὴν μετ’ ἀπραγμοσύνης ἀσφάλειαν τῶν ἐν ἐπιφανεῖ βίῳ κινδυνευόντων.

π 2087 Πορρωτέρω.

π 2088 Πόρρω τῶν νυκτῶν: περὶ τὸ μεσονύκτιον. τινὲς δὲ τῶν αὐτῷ παρόντων πόρρω που τῶν νυκτῶν, δηλονότι οἷσπερ ἐν καθαρῷ ἦν ἡ ψυχή, φάσμα θεάσασθαι δαιμόνιον.

π 2089 Πόρπαξ· Σοφοκλῆς· ἀλλ’ αὐτός μοι σύ, παῖ, λαβὼν ἐπώνυμον, Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων πόρπακος ἑπτάβοιον ἄρρητον σάκος. καὶ Ἀριστοφάνης· ἀλλ’ ἐμός γα, κἂν ἐκ τῆς ταγᾶς ἔλθῃ πόκα, πορπακησάμενος. ὁ ἐμός, φησίν, ἀνήρ, οἷον περονησάμενος. ἀντὶ τοῦ ἀποβαλὼν τὴν ἀσπίδα, ἅμα τῷ παρὼν εἶναι ἄπεισιν εἰς τὸν πόλεμον.

π 2090 Πόρπαξ: ᾧ τὴν ἀσπίδα κατέχουσιν ὁ λεγόμενος ὄχανος· ἀνετίθεσαν γὰρ τὰ ἐκ τῶν πολέμων ὅπλα ἄνευ ὀχάνων, ἵνα μὴ ἑτοίμως αὐτοῖς ἔχωσι χρῆσθαι. οὐ γάρ ς’ ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι. Πόρπαξ, κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος· ὡς δέ τινες τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

π 2091 Πόρπη: ἡ παρὰ Ῥωμαίοις φίβλα. ὁ δὲ τὴν πόρπην αὐτοῦ σπάσας, ἀεί, φησίν, ὑμεῖς οἱ παρὰ τῶν Ἀχαιῶν ἐστὲ τοιοῦτοι κήρυκες. καὶ Πορποῦσθαι, φιβλοῦσθαι.

π 2092 Πορπηδόν.

π 2093 Πόρπωμα: εἶδος ὅπλου.

π 2094 Πορσύνω: ἑτοιμάζω.

π 2095 Πορφύρεος: ὁ πορφυροῦς. καὶ Πορφύρεον κῦμα.

π 2096 Πορφύρειος ἐσθής.

π 2097 Πορφύρῃ: ταράσσηται. καὶ ἐν Μυθικοῖς· καὶ οἱ πορφύροντι διακριδὸν ἀμφὶς ἕκαστα.

π 2098 Πορφύριος, ὁ κατὰ Χριστιανῶν γράψας· ὃς κυρίως ἐκαλεῖτο Βασιλεύς· Τύριος, φιλόσοφος, μαθητὴς Ἀμελίου τοῦ Πλωτίνου μαθητοῦ, διδάσκαλος δὲ Ἰαμβλίχου, γεγονὼς ἐπὶ τῶν χρόνων Αὐρηλιανοῦ καὶ παρατείνας ἕως Διοκλητιανοῦ τοῦ βασιλέως. ἔγραψε βιβλία πάμπλειστα, φιλόσοφά τε καὶ ῥητορικὰ καὶ γραμματικά. ἦν δὲ καὶ Λογγίνου τοῦ κριτικοῦ ἀκροασάμενος. Περὶ θείων ὀνομάτων α′, Περὶ ἀρχῶν β′, Περὶ ὕλης ϛ′, Περὶ ψυχῆς πρὸς Βόηθον ε′, Περὶ ἀποχῆς ἐμψύχων δ′, Περὶ τοῦ Γνῶθι σαυτὸν δ′, Περὶ ἀσωμάτων, Περὶ τοῦ μίαν εἶναι τὴν Πλάτωνος καὶ Ἀριστοτέλους αἵρεσιν ζ′, Εἰς τὴν Ἰουλιανοῦ τοῦ Χαλδαίου φιλοσόφον ἱστορίαν ἐν βιβλίοις δ′, Κατὰ Χριστιανῶν λόγους ιε′, Περὶ τῆς Ὁμήρου φιλοσοφίας. Πρὸς Ἀριστοτέλην τοῦ εἶναι τὴν ψυχὴν ἐντελέχειαν, Φιλολόγου ἱστορίας βιβλία ε′, Περὶ γένους καὶ εἴδους καὶ διαφορᾶς καὶ ἰδίου καὶ συμβεβηκότος, Περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν, Περὶ τῆς ἐξ Ὁμήρου ὠφελείας τῶν βασιλέων βιβλία ι′, Συμμίκτων ζητημάτων ζ′, Εἰς τὸ Θουκυδίδου προοίμιον, Πρὸς Ἀριστείδην ζ′, Εἰς τὴν Μινουκιανοῦ τέχνην, καὶ ἄλλα πλεῖστα, καὶ μάλιστα ἀστρονομούμενα· ἐν οἷς καὶ Εἰσαγωγὴν ἀστρονομουμένων ἐν βιβλίοις τρισί· καὶ Γραμματικὰς ἀπορίας. οὗτός ἐστιν ὁ Πορφύριος ὁ τὴν κατὰ Χριστιανῶν ἐφύβριστον γλῶσσαν κινήσας.

π 2099 Πορφύριος, ὁ τῶν Χριστιανῶν πολέμιος, ἀπὸ Φοινίκης πόλεως Τύρου.

π 2100 Πορφυρίων, πορφυρίωνος: εἶδος ὀρνέου, παρὰ Ἀριστοφάνει.

π 2101 Πορφυρόπωλις: ἡ τὰ πορφυρᾶ πωλοῦσα.

π 2102

Ποσαπλῶς: ποσαχῶς, ἀναριθμήτως. ἓν μέρος λόγου ἐστὶ καὶ ἐπίτασιν τοῦ πόθου σημαίνει· συμφωνεῖ γὰρ τῷ ἔρωτι τῆς ψυχῆς καὶ ἡ σὰρξ καὶ τοῖς ἐκείνης οὐκ ἀντιτείνει βουλεύμασι.

π 2103 Ποσειδώνειον: διὰ διφθόγγου, ὡς Δωριαῖον. ὅτι Ἀπολλώνιον βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος· οὕτως καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος· ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς, καὶ Διονύσιον καὶ Δημήτριον καὶ πάντα τὰ τοιαῦτα ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον, δῆλον ὅτι Δωριαῖον.

π 2104 Ποσειδεών: ἔκτος μὴν παρὰ Ἀθηναίοις οὕτω καλούμενος. ὁ Αὔγουστος.

π 2105 Ποσειδεῶνος. ὅτι ἐν τῷ Ποσειδεῶνι μηνὶ διαμεμετρημένη ἐλέγετο ἡμέρα. ἡ δὲ ἦν μέτρον τι ὕδατος, πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον. ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί, ὡς δὴ τούτῳ γὰρ ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. ὅτι Ποσειδῶν καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς. καὶ ζήτει ἐν τῷ γεραίτερος.

π 2106 Ποσειδῶν· καὶ Πόσειδον, ἡ κλητική. Ποσείδιον δὲ ὄνομα τόπου.

π 2107 Ποσειδώνιος, Ἀπαμεὺς ἐκ Συρίας ἢ Ῥόδιος, φιλόσοφος Στωϊκός· ἐπεκλήθη Ἀθλητής· σχολὴν δ’ ἔσχεν ἐν Ῥόδῳ, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου. ἔγραψε πολλά.

π 2108 Ποσειδώνιος, Ἀλεξανδρεύς, φιλόσοφος Στωϊκός, μαθητὴς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἱστορίαν τὴν μετὰ Πολύβιον ἐν βιβλίοις νβʹ ἕως τοῦ πολέμου τοῦ Κυρηναϊκοῦ καὶ Πτολεμαίου, καὶ μελέτας ῥητορικάς, ὑποθέσεις εἰς Δημοσθένην· καὶ οἶμαι ταῦτα μᾶλλον Ποσειδωνίου τοῦ σοφιστοῦ εἶναι, τοῦ Ὀλβιοπολίτου.

π 2109 Ποσειδώνιος, Ὀλβιοπολίτης, σοφιστὴς καὶ ἱστορικός. Περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν κατ’ αὐτόν, Περὶ τῆς Τυρικῆς καλουμένης χώρας, Ἀττικὰς ἱστορίας ἐν βιβλίοις δʹ, Λιβυκὰ ἐν βιβλίοις ιαʹ, καὶ ἄλλα τινά.

π 2110 Ποσειδώνιος: ὄνομα κύριον. ὃς συνέγραψε τὸ παλμικὸν οἰώνισμα· ὅτι, ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει.

π 2111 Ποσίδιππος, Κασανδρεύς, υἱὸς Κυνίσκου, τρίτῳ ἔτει μετὰ τὸ τελευτῆσαι τὸν Μένανδρον διδάξας, κωμικός. ἔστι δὲ τὰ δράματα αὐτοῦ ἕως τῶν λʹ.

π 2112 Πόσις: ἀνήρ.

π 2113 Πόσθη: τὸ αἰδοῖον τοῦ ἀνδρός.

π 2114 Πόσθιον: τὸ αἰδοῖον. λέων, λέων σοι γέγονεν ἔκμαγμα σόν. τά τ’ ἄλλ’ ἁπαξάπαντα καὶ τὸ πόσθιον τῷ σῷ προσόμοιον, ὥσπερ κύτταρον στρεβλόν. κύτταρος δὲ τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος. Ἀριστοφάνης· νὴ τὴν Ἀφροδίτην, ἡδύ γ’ ὄζει ποσθίου.

π 2115 Πόσθωνος.

π 2116 Ποσόν: τοῦτο κατὰ μέγεθος θεωρεῖται, οἷον μέγα, ἢ μικρόν· ποιὸν δὲ κατὰ τὴν ὕλην θεωρεῖται.

π 2117 Πόσου πρίωμαί σοι τὰ χοιρίδια· λέγε. τὸ μὲν ἕτερον τούτων σκορόδων τροφαλλίδος, τὸ δ’ ἅτερον, χοίνικος μόνης ἁλῶν.

π 2118 Ποστόμιος ὕπατος· οὗτος μέγα φρονῶν ἐφ’ ἑαυτῷ τῆς τάξεως τοῦ γένους ἕνεκα καὶ ὅτι διτταῖς ὑπατείαις ἤδη κεκοσμημένος ἦν. ἐφ’ οἷς ὁ συνύπατος αὐτοῦ καταρχὰς μὲν ὡς ἀπελαυνόμενος τῶν ἴσων ἠγανάκτει καὶ πολλάκις ἐπὶ τῆς βουλῆς τὰ δίκαια πρὸς αὐτὸν ἔλεγεν· ὕστερον δὲ συγγνοὺς ἑαυτῷ κατά τε προγόνων ὄγκον καὶ φίλων καὶ κατὰ τὰς ἄλλας δυνάμεις ἐλάττονα ἰσχὺν ἔχοντι (δημοτικὸς γὰρ ἦν καὶ τῶν νεωστὶ παρελθόντων ἐς γνῶσιν) εἶξέ τε τῷ συνυπάτῳ καὶ παρεχώρησε τοῦ πολέμου τὴν ἡγεμονίαν. καὶ τοῦτο ἤνεγκε διαβολὴν τῷ Ποστομίῳ κατὰ πολλὴν αὐθάδειαν γενόμενον, ἕτερον δὲ βαρύτερον ἢ ὡς κατὰ Ῥωμαίων ἡγεμόνα γενόμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιλεξάμενος γὰρ ἐκ τῆς ἑαυτοῦ στρατιᾶς περὶ τοὺς δισχιλίους ἄνδρας ἐς τοὺς ἰδίους ἀγροὺς ἀπήγαγεν, οἷς ἄνευ σιδήρου δρυμὸν ἐκέλευσε κείρειν. καὶ κατέσχε τοὺς ἄνδρας ἐν τοῖς ἀγροῖς, θητῶν ἔργα καὶ θεραπόντων ὑπηρετοῦντας. καὶ ἄλλα πλεῖστα ὅσα βαρύτατα διαπραξάμενος παρέσχε τῷ δήμῳ μίσους ἀφορμὰς δικαίου.

π 2119 Πόστος: ἀπὸ τοῦ πόσατος, κατὰ συγκοπήν. τάσσεται δὲ ἐπὶ ποσότητος. οἷον, πόστον ἄγει ἔτος; καί, πόστη ὥρα τῆς ἡμέρας;

π 2120 Πόστουμος, Ῥωμαῖος, ἀπὸ Ναπύης, τά τε Ἑλλήνων ἐπαιδεύθη, ἐρασθεὶς αὐτῶν μετὰ ἔτη λʹ. τὰ δὲ πρῶτα χρυσοχόος ἦν. ἐπεὶ δὲ ἅπαξ αὐτὸν εἰσῆλθεν ὅδε ὁ φιλόλογος ἔρως, ἐς τὰς Ἀθήνας ὥρμησε καὶ ἐξεμουσώθη τὰ Ἑλλήνων ἐκεῖθι. καὶ ἐς γῆρας βαθὺ ἤλασε, πολλὰ καὶ καλὰ εἰδώς. οὔκουν ἀπεικὸς ἦν καὶ τόνδε τὸν Ποστοῦμον λέγειν λόγον ἐκεῖνον, ὅνπερ οὖν Ἡράκλειτος εἶπεν ἐφ’ ἑαυτοῦ· ἐμεωϋτὸν ἐδιζησάμην.

π 2121 Ποταμηδόν: δίκην ποταμοῦ.

π 2122 Ποτάμιοι: οἱ Ἀχαρνεῖς. καὶ ζήτει ἐν τῷ Δραχαρνεῦ.

π 2123 Ποταμοδάρτης: ὁ περῶν ἀεὶ τὸν ποταμόν.

π 2124 Ποταμὸς θαλάττῃ ἐρίζεις: ἐπὶ τῶν διατεινομένων πρὸς κρείττονας. καὶ Ποταμοί, δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης Ποτάμιος. ἐκωμῳδοῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράφους. λύσις ὀνείρου· ῥύσις ποταμοῦ δυσμενῆ δηλοῖ καράν.

π 2125 Ποταμῷ μεγάλῳ ὀχετὸν ἐπάγεις: ἐπὶ τῶν τοῖς οὖσι προσφερόντων.

π 2126 Ποτάμων, Ἀλεξανδρεύς, φιλόσοφος, γεγονὼς πρὸ Αὐγούστου, καὶ μετ’ αὐτόν. εἰς τὰς Πλάτωνος Πολιτείας ὑπόμνημα.

π 2127 Ποτάμων, Μιτυληναῖος, υἱὸς Λεσβώνακτος, ῥήτωρ. ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίου. καί ποτε αὐτοῦ ἐς τὴν πατρίδα ἐπανιόντος, ὁ βασιλεὺς ἐφοδιάζει τοιοῖσδε γράμμασι· Ποτάμωνα Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσοι, σκεψάσθω, εἴ μοι δυνήσεται πολεμεῖν. ἔγραψε περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, Ὅρους Σαμίων, Βρούτου ἐγκώμιον, Καίσαρος ἐγκώμιον, Περὶ τελείου ῥήτορος.

π 2128 Ποτάμωνος.

π 2129 Ποταίνιον: τὸ ξένιον.

π 2130 Πότε: λέγεται πρὸς νῦν κατ’ ἄμφω, καὶ κατὰ τὸ παρεληλυθός, καὶ κατὰ τὸ μέλλον. κατὰ μὲν τὸ παρεληλυθός, πότε ἐγένετο; κατὰ δὲ τὸ μέλλον, πότε ἔσται;

π 2131 Πότερον: ἆρα, ποῖον, ποταπόν.

π 2132 Ποτή: ἡ πτῆσις.

π 2133 Πότης λύχνος· Ἀριστοφάνης Νεφέλαις· τί γάρ μοι τὸν πότην ἧπτες λύχνον; παρὰ Ἀττικοῖς ὁ πολὺ ἔλαιον ἀναλίσκων.

π 2134 Ποτίδαια: ὄνομα πόλεως. καὶ Ποτιδαιάτης.

π 2135 Ποτινίσεται: ἐπέρχεται.

π 2136 Πότμον: μόρον, θάνατον. καὶ Εὔποτμος, ὁ καλῶς τὸν βίον καταστρέφων. ὃς οἰκτρῶς καὶ ἐλεεινῶς ἐς γῆρας ἦλθεν οὐδαμῇ εὔποτμον.

π 2137 Πότνα: δέσποινα.

π 2138 Πότνια: σέμνη, ἔντιμος.

π 2139 Ποτνιᾶσθαι: παρακαλεῖν. καὶ Ποτνιᾶται, παρακαλεῖ, ἐπικαλεῖται θεούς. καὶ Ποτνιώμενος, δυσφορῶν, μετ’ οἰμωγῆς παρακαλῶν.

π 2140

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ποτώμεναι: διατρίβουσαι. Ποτῶνται δὲ πέτονται.

π 2141 Ποτόν· ζήτει ἐν τῷ ἄγευστος θοίνης.

π 2142 Ποτός: τὸ πινόμενον. Πότος δὲ τὸ συμπόσιον. σφοδροῦ δὲ πότου γενομένου, ἐνεδρεύων ὁ ἑστιάτωρ αὐτὸς μὲν ὀλίγον ἔπινεν, αὐτοῖς δὲ πολὺ ἐγχεῖν τοῖς θεράπουσιν ἐκέλευε.

π 2143 Ποτώνη: ἀδελφὴ Πλάτωνος τοῦ φιλοσόφου.

π 2144 Ποῦ γῆς· ποῦ γῆς πέφευγεν; ἀντὶ τοῦ εἰς ποίαν γῆν, Ἀττικῶς.

π 2145 Πουλχερία, Ἀρκαδίου θυγάτηρ καὶ βασιλίς, ιε′ ἐτῶν οὔπω τυγχάνουσα ἄριστα τὴν βασιλείαν διῴκει· ἐπαίδευσε δὲ καὶ τὸν ἀδελφὸν Θεοδόσιον. σοφωτάτη γὰρ οὖσα καὶ θεῖον νοῦν κεκτημένη τήν τε ἰδίαν παρθενίαν θεῷ προσανέθηκε καὶ τὰς ἀδελφὰς τὸ ὅμοιον πρᾶξαι ἐδίδαξεν. εἰς πάντα δὲ τὸν ἀδελφὸν ἐκανόνιζεν, ἦθός τε καὶ λόγον, βάδισμα καὶ γέλωτα καὶ ἐνδυμάτων περιβολὴν καὶ σχῆμα καθέδρας καὶ στάσεως βασιλικῶς ἐξεπαίδευσε· πρὸ δέ γε ἁπάντων, τὴν εἰς τὸ θεῖον εὐσέβειαν αὐτὸν ἐπιμελῶς ἐδίδασκεν· ὡσαύτως δὲ καὶ περὶ τὰς ἀδελφὰς διεγένετο. πολλὰς δὲ ἐκκλησίας καὶ πτωχεῖα καὶ ξενῶνας καὶ μοναστήρια αὐτὴ κτίσασα καὶ προσόδους ἀφώρισε, καὶ πρὸς ἄλλοις μυρίοις κατορθώμασι πολλάκις αὐτῇ καὶ τὸ θεῖον ἐφαίνετο. αἱ δὲ ἀδελφαὶ Ἀρκαδία καὶ Μαρίνα. ὁ δὲ φύσει νωθρός τε καὶ ἀπερίσκεπτος ἐς πάντα μὲν ὑπῆρχε, μάλιστα δὲ ἐς τοὺς ὑποβάλλοντας αὐτῷ χάρτας ἀπαραναγνώστως ὑπέγραφεν. ὅπερ ἡ σοφωτάτη γνοῦσά ποτε Πουλχερία σοφῶς ὑπῆλθεν αὐτόν, δωρεὰν ὑποβαλοῦσα δῆθεν πρὸς δουλείαν τὴν ἑαυτοῦ γαμετὴν Εὐδοκίαν. ἣν καὶ καθυπογράψας μὴ πρότερον ἀναγνοὺς ὕστερον δεινῶς ὠνειδίζετο παρὰ τῆς Πουλχερίας. ὅτι Πουλχερία ἐπὶ τοσοῦτον ἐμίσει τὸν Νεστόριον, ὡς τοὺς φιλοῦντας ἐκεῖνον διαθρυλεῖν, ὅτι πορνείαν πρὸς τὸν ἀδελφὸν αὐτῆς Θεοδόσιον τὸν βασιλέα διέβαλε Πουλχερίας Νεστόριος, καὶ διὰ τοῦτο οὕτως ὑπ’ αὐτῆς ἐμισεῖτο· ἐλοιδόρει γὰρ αὐτὴν εἰς τὸν τότε μάγιστρον Παυλινὸν λεγόμενον.

π 2146 Πουλχερία· Πουλχερίας τῆς ἀοιδίμου στήλη ἵστατο ἐν τῇ Χαλκῇ, πλησίον τοῦ παλατίου, ὡς πρὸς τὸν περίπατον.

π 2147 Ποῦ μήν: ποῦ δὴ οὖν;

π 2148 Ποῦς· ὁ ποῦς ἔχει δακτύλους ις′.

π 2149 Ποῦ σχήσειν δοκεῖς: ἀντὶ τοῦ ποῦ ἀπάξαι τὴν ναῦν;

π 2150 Πώγων, πώγωνος: Τροιζήνιος λιμὴν οὕτω καλούμενος· ὅθεν καὶ παροιμία ἐπὶ τῶν κακογενείων· ἐς Τροιζῆνα δὲ βαδίζειν. καὶ Ἀριστοφάνης· κἀγώ γ’ Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα πώγων’ ἔχω. οὗτος γὰρ μέγαν πώγωνα ἔχων ἐκαλεῖτο Σακεσφόρος καὶ ἐκωμῳδεῖτο εἰς δασύτητα. ἦν δὲ ῥήτωρ καὶ δημαγωγός. καὶ Ἀριστοφάνης φησίν· ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε.

π 2151 Πωγωνίας: ὁ μέγας πώγων.

π 2152 Πωγωνιήτης: ὁ Ζεύς. καὶ Πωγωνίτης.

π 2153 Πώεα: ποίμνια.

π 2154 Πωλάς: ἀντὶ τοῦ πρᾶσις. Ὑπερίδης. ἔστι τὸ ὄνομα καὶ ἐν τοῖς Σώφρονος Ἀνδρείοις.

π 2155 Πωλέσκετο: ἀνεστρέφετο. καὶ Ὅμηρος· πωλεῖταί τις γέρων.

π 2156 Πωλευτικός.

π 2157 Πωλεία χαίτη.

π 2158 Πώλης: ὁ Ἀριστοφάνης τὸ τέλος τοῦ ὀνόματος παίζων λέγει, παρὰ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα, οἷον προβατοπώλης, στυππειοπώλης, ἀλλαντοπώλης.

π 2159 Πωλητής: ὁ πιπράσκων. ἦν γὰρ ἐνταφίων πωλητής. καὶ Πωληταί· οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν καὶ μὴ ἀποδιδόντων ἐπίπρασκον τὰς οὐσίας. ὑπέκειντο δὲ τοῖς Πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον, ἔτι καὶ οἱ ξενίας ἁλόντες καὶ ὁ μέτοικος καὶ προστάτην οὐκ ἔχων καὶ ὁ ἀποστασίου γραφείς· τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παρεκατέβαλον εἰς τὸ δημόσιον.

π 2160 Πωληταὶ καὶ Πωλητήριοι· οἱ μὲν Πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. δοκοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τὰ τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα. Πωλητηρὸν δὲ καλεῖται ὁ τόπος, ἔνθα συνεδρεύουσιν οἱ Πωληταί.

π 2161 Πωλητήριον: τὸ πρατήριον. οὕτως Ὑπερίδης.

π 2162 Πωλικῆς ἀπήνης: ὑπὸ πώλων ἐζευγμένης. κἀπὶ πωλικῆς ἀνὴρ ἀπήνης ἐμβεβώς, ξυνηντίαζε. καὶ Πωλικόν, τὸν τοῦ πώλου. ἐν Ἐπιγράμμασι· πάϊς δ’ ἴσον ἀστέρι λάμπει, πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος.

π 2163 Πωλικός: ὁ γενναῖος. καὶ Πωλικὸν δῆγμα καὶ [τὸ] φρύαγμα.

π 2164 Πωλίον: πῶλοι κυρίως τὰ γεννήματα τῶν ἵππων, καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν καταψᾶν καὶ κολακεύειν. λύσις ὀνείρου· στρουθὸν κρατῶν φεύγοντα προσδόκα βλάβην.

π 2165 Πωλίων, ὁ Ἀσίνιος χρηματίσας, Τραλλιανός, σοφιστὴς καὶ φιλόσοφος· σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ διαδεξάμενος τὴν σχολὴν Τιμαγένους. ἔγραψεν ἐπιτομὴν τῆς Φιλοχόρου Ἀτθίδος, Ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου, ἐπιτομὴν τῶν Διοφάνους Γεωργικῶν ἐν βιβλίοις β′, πρὸς Ἀριστοτέλην περὶ ζῴων βιβλία ι′, περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήϊος.

π 2166 Πωλίων, Ἀλεξανδρεύς, ὁ Οὐαλέριος χρηματίσας, φιλόσοφος, γεγονὼς ἐπὶ Ἀδριανοῦ· οὗ παῖς Διόδωρος φιλόσοφος, ὁ γράψας ἐξήγησιν τῶν ζητουμένων παρὰ τοῖς ι′ ῥήτορσιν. ἔγραψε Συναγωγὴν Ἀττικῶν λέξεων κατὰ στοιχεῖον, καὶ ἄλλα τινὰ φιλόσοφα.

π 2167 Πωλίων. ἢ Πωλίων, γραμματικός. Περὶ τῶν παρὰ γράμμα ἁμαρτανομένων.

π 2168 Πωλοδάμνης: πωλοδαμαστής. γυμναστής.

π 2169 Πωλοδαμνῶ: τοὺς πώλους δαμάζω.

π 2170 Πῶλος, Ἀκραγαντῖνος, ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου. ἔγραψε Γενεαλογίαν τῶν ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων καὶ πῶς ἕκαστος ἀπήλλαξε· τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγράφουσι· Νεῶν κατάλογον, Περὶ λέξεως.

π 2171 Πῶλος: τὸ ζῷον.

π 2172 Πωλῶ: τὸ πιπράσκω.

π 2173 Πωλῶ· γενικῇ. τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦνται.

π 2174 Πωλῶσι: Δίδυμος φησὶν ἀντὶ τοῦ πορνεύουσι φανερῶς· πωλεῖν γὰρ τὸ παρέχειν ἑαυτὸν τοῖς βουλομένοις, ὅθεν καὶ τὸ πορνεύειν, ὅπερ ἐστὶ περνᾶν. ἐγὼ δέ φημι, ὅτι κυρίως ἔταξε νῦν ὁ ῥήτωρ τὸ πωλεῖν· φησὶ γὰρ τὸν νόμον οὐκ ἐᾶν ἐπὶ ταύτης μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ’ ἐργαστηρίου κάθωνται ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ἢ ἐν τῇ ἀγορᾷ.

π 2175 Πῶμα: σκέπασμα.

π 2176 Πώμαλα: ἀντὶ τοῦ πόθεν. οἷον οὐδαμῶς. ἔστι δὲ τὸ μὲν πῶ Δώριον, τιθέμενον ἀντὶ τοῦ πόθεν· τὸ δὲ μαλα ἢ παρέλκει, ἢ ἐν συνηθείᾳ λεγόμενον ἐν τῷ πώμαλα, οἷον οὐ μάλα. ἀντὶ τοῦ οὐ ἢ ἀντὶ τοῦ οὐδόλως. ἔστι δὲ Ἀττικόν. Λυσίας ἐν τῇ πρὸς Ἀσύβαρον ἐπιστολῇ· γενναίως γὰρ αἱ

γυναῖκες πώμαλα ἔφασαν ὠρχῆσθαι αὐτάς, δέον οὐδὲ πιούσας ἀπηλλάχθαι τοῦ συμποσίου. ἐγένοντο.

π 2177 Πώμαλα: κεῖται καὶ παρὰ Δημοσθένει ἡ λέξις· οὐχ ἵνα ἐξέλθητε. πώμαλα. καὶ παρ᾽ Ἀριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ᾽ ἓν πώμαλα.

π 2178 Πωμήριον: τὸ τοῦ τείχους εἰκόνισμα.

π 2179 Πώποτε.

π 2180 Πῶρος, βασιλεὺς Ἰνδῶν· ὃς ἐγένετο κάλλιστος Ἰνδῶν καὶ μῆκος ὅσον οὔπω τις ἀνθρώπων τῶν μετὰ τοὺς Τρωϊκοὺς ἄνδρας. ἦν δὲ κομιδῇ πάνυ νέος, ὅτε συνῆν Ἀλεξάνδρῳ καὶ τούτῳ ἐπολέμει. τοῦτον ἤρετο περὶ διαίτης ὁ Ἀπολλώνιος. ὁ δέ, οἴνου μέν, ἔφη, πίνω τοσοῦτον, ὅσον τῷ ἡλίῳ σπένδω· ἃ δ᾽ ἂν ἐν θήρᾳ λάβω, ταῦτα σιτοῦνται ἕτεροι, ἐμοὶ δὲ ἀπόχρη τὸ γεγυμνάσθαι. τὰ δὲ ἐμὰ σιτία λάχανα καὶ φοινίκων ἐγκέφαλοι καὶ καρπὸς τῶν φοινίκων καὶ ὁπόσα μοι ὁ ποταμὸς κηπεύει· πολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν γεωργοὶ αἵδε αἱ χεῖρες. ταῦτα ἀκούων ὁ Ἀπολλώνιος ὑπερήδετό τε καὶ ἐς τὸν Δᾶμιν θαμὰ ἑώρα.

π 2181 Πῶρος: ἀπολίθωσις ὑγροῦ. καὶ Πωρῶ, ῥῆμα, τὸ σκληρύνω, καὶ λιθοποιῶ. Πισίδης· καὶ τὰς ἰκμάδας πωροῦντα καὶ σφίγγοντα λιθώδει τρόπῳ. καὶ Πώρινος λίθος.

π 2182 Πῶρος: πάθος τί ἐστιν, ὥς φησιν Ἀντίμαχος. πῶρόν τιν᾽ ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο. καὶ πωρεῖν Ἠλεῖοι τὸ πενθεῖν φασι. παρὰ τοῦτο οὖν τὸ ταλαίπωρος ἐτυμολογεῖται.

π 2183 Πωρός: ὁ τυφλός. καὶ Πώρωσις, ἡ τύφλωσις.

π 2184 Πωρύτης.

π 2185 Πῶς δοκεῖς: θαυμαστικῶς τοῦτο λέλεκται παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις· κἀκ τῶν σιδίων βατράχους ἐποίει, πῶς δοκεῖς; καί, πῶς ἔγωγε χ᾽ οὑτοσὶ ξυνεσόμεθ᾽ ὑμῖν πετομένοις οὐ πετομένω; καλῶς; ὅρα νῦν, ὡς ἐν Αἰσώπου λόγοις ἔστιν λεγόμενον δή τι, τὴν ἀλώπεχ᾽ ὡς φλαύρως ἐκοινώνησεν αἰετῷ ποτε. μηδὲν φοβηθῇς· ἔστι γάρ τι ῥιζίον, ὃ διατραγόντες ἐστὸν ἐπτερωμένω.

π 2186 Πῶϋ: τὸ ποίμνιον. καὶ Πώεα.

π 2187 Πῶϋγξ, πώϋγγος.

π 2188 Πράγματα: ἐπὶ κακῷ χρῶνται τῇ λέξει οἱ παλαιοί. καὶ Μένανδρος· ἐν πράγμασιν, ἐν μάχαις. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ· ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ᾽ ἐρῶ. καὶ αὖθις· καὶ δή ποτε εἷς πορφυρίων αὐτῷ παρέσχε πράγματα. καὶ αὖθις· ἀλλά σοι παρέξω πράγματα. ἀντὶ τοῦ ἐνοχλήσω. καὶ παροιμία· Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ὁ δὲ ἐξελθὼν ἐπρίατο.

π 2189 Πράγματα: κακοπάθειαι. ὀρεία τε ἦν καὶ στενὴ ἡ ὁδός, καὶ πολλὰ πράγματα εἶχον ἀμφὶ τοῖς ζεύγεσιν οἱ στρατιῶται. ἀντὶ τοῦ κόπους.

π 2190 Πράγματ᾽ ἐξ ἀπραξίας: ἐπὶ τῶν παρὰ δόξαν καὶ παρ᾽ ἐλπίδα συμβαινόντων. ὅτι πραγματευτικὸς ἄνθρωπος λέγεται ὁ ἔμπορος· καὶ ἐμπολαῖος ὁμοίως.

π 2191 Πραγματεία: οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς πραγματείας, οὕτω καὶ ὑπὸ τῶν ῥητόρων τέτακται ἐπὶ τῶν ἐργασίας τινὰς μεταχειριζομένων, ἀλλ᾽ ἐπὶ τῶν πράγματα συνίστασθαι ἐπιχειρούντων. ὡς Δείναρχος ἐν τῷ κατὰ Μεναίχμου· αἱ γὰρ ἀπὸ τῶν κοινῶν ἔχθραι καὶ πραγματεῖαι αἰτίαι τῶν ἰδίων διαφορῶν καθεστήκασι.

π 2192 Πραγματεία: πολυπραγμοσύνη, κακοπάθεια. πόλιν πολυάνθρωπον καὶ στρατῷ μεγάλῳ πεφραγμένην εἷλεν ἄνευ πραγματείας ὁ βασιλεύς.

π 2193

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πραγματικώτατον: ἐνεργητικώτατον. ὃ δὴ καὶ πραγματικώτατον γεγονέναι τὸ διαβούλιον. καὶ αὖθις· τοῦτο δὲ ἐποίει νουνεχῶς ἅμα καὶ πραγματικῶς.

π 2194 Πραγματοδίφης: ὁ δικολόγος. καὶ πραγματοδίφης. ὦ μακάριε τῆς τέχνης.

π 2195 Πραγματομαθής· ὁ δὲ ὢν ἀγχίνους, καὶ τριβῇ κινδύνων πραγματομαθής. καὶ Πραγματομαθεῖς, οἱ τῶν πραγμάτων εἰδήμονες. διὸ καὶ οἱ Ῥωμαῖοι πραγματομαθεῖς ὑπάρχοντες ὑφεωρῶντο τὰ τῆς τύχης ἄδηλα.

π 2196 Πραγματωδεστέρα τάξις: ἡ δυσχερεστέρα.

π 2197 Πραγμάτων καὶ μαχῶν καὶ Λαμάχων ἀπαλλαγείς. Λάμαχος, στρατηγὸς Ἀθηναίων ῥιψοκίνδυνος.

π 2198 Πρᾶγος: ἡ πρᾶξις. πρᾶγος δ’ ἀτίζειν οὐδεμ’ ἀνθρώπων χρεών. ἄνθρωπον ὄντα, φησίν, οὐ δεῖ πρᾶγμα κακίζειν.

π 2199 Πραέων γῆν.

π 2200 Πραεῖα.

π 2201 Πρακτέα· καὶ τὰ πρακτέα ὀρθῶς διατάττων.

π 2202 Πρακτέον: δεῖ πράττειν.

π 2203 Πρακτικαί· ὅτι οὔτε αἱ πρακτικαὶ νοήσεις ἄπειροι οὔτε αἱ θεωρητικαί, ἐπεὶ μηδὲ οἱ τούτων λόγοι ἄπειροι. ἄγγελοι δέ εἰσι τῶν νοημάτων οἱ λόγοι· οἵτινες κἂν ὕστεροί εἰσι τῶν πρακτικῶν νοήσεων καὶ θεωρητικῶν, ἀλλ’ ἡμῖν γε ἐμφανέστεροι καὶ γνωριμώτεροί εἰσιν. ὡς οὖν ἔχουσιν οἱ περὶ τῶν ...

π 2204 Πρακτικόν: ἀνυστικόν.

π 2205 Πράκτορα: ἔκδικον. φόνου ποτ’ αὐτὸν πράκτορ’ ἵξεσθαι πατρός.

π 2206 Πράκτωρ: ὁ τὸν ἐπικείμενον εἰσπραττόμενος φόρον.

π 2207 Πράμνιος οἶνος· Ἀρίσταρχος ἐπιμελῶς τὸν ἡδὺν οἶνον Πράμνιον ἔλεγε· τινὲς τὸν ὤνιον οἶνον παραμόνιμον, τινὲς ἀπὸ ἀμπέλου Πραμνίας ὀνομαζομένης, οἱ δὲ ἰδίως τὸν μέλανα· ἔνιοι τὸν πραΰνοντα τὸ μένος, ὃν καὶ φαρμακίτην φασί. Σῆμος ὁ Δήλιος ἐν γʹ, ἐν Νικαίῳ Πράμνον πέτραν εἶναι, ἀφ’ ἧς τὸν οἶνον εἶναι.

π 2208 Πρανές: κάταντες.

π 2209 Πρανής: ὁδὸς κατωφερής. ἐν δέ τινι πρανεῖ, στενῷ καὶ ἐπιμήκει καὶ ὀλίσθου γέμοντι, πολλοὶ παρεφέροντο.

π 2210 Πραξάμενος: ἀπαιτήσας, λαβών. Μάλλιος ὁ ἀνθύπατος τʹ τάλαντα πραξάμενος παρὰ Ἀριαράθου φίλον αὐτὸν ἐποιήσατο Ῥωμαίων.

π 2211 Πράξαντες· Θουκυδίδης· οἱ δὲ μετ’ Ἀθηναίων πράξαντες (τουτέστι βουλευθέντες) ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας. ἔμελλον δὲ ἀνοιχθεισῶν εἰσπίπτειν τοῖς Ἀθηναίοις.

π 2212 Πραξιδίκη: θεός, ἧς κεφαλὴν μόνον ἱδρύοντο. Μνασέας δὲ ἐν τῷ περὶ Εὐρώπης Σωτῆρος καὶ τῆς ἀδελφῆς Πραξιδίκης γενέσθαι Κτήσιον υἱὸν καὶ θυγατέρας Ὁμόνοιαν καὶ Ἀρετήν, ἃς ἀπὸ τῆς μητρὸς Πραξιδίκας κληθῆναι. Διονύσιος δὲ ἐν Κτίσεσιν Ὠγύγου θυγατέρας, Ἀλκομένειαν, Θελξίνειαν, Αὐλίδα, ἃς ὕστερον Πραξιδίκας ὀνομασθῆναι.

π 2213 Πραξίλλης: ὄνομα κύριον.

π 2214 Πραξικοπήσας: ἐξ ἐπιβουλῆς βουλευσάμενος, δολιευσάμενος. Πολύβιος· ὁ δὲ στρατηγὸς πρῶτον μὲν πραξικοπήσας κατέσχε τὴν τῶν Ἐρεβησέων πόλιν καὶ παρείλετο τὰς ἀγοράς.

π 2215

Πραξικοπήσας: δωροδοκηθείς. ὁ δὲ Οὔρβιος πραξικοπήσας νυκτὸς κατέλαβε τὸ μέρος τῆς ἀκροπόλεως καὶ τοὺς Ῥωμαίους εἰσήγαγε. πολλὰς πόλεις ἠνδραποδίσατο, πραξικοπήσας μετὰ δόλου καὶ βίας.

π 2216 Πρᾶξις: κοινότερον μὲν πᾶσα λογικὴ ἐνέργεια, ἰδίως δὲ καὶ κυριώτερον ἡ κατὰ προαίρεσιν, τουτέστιν ἡ κατ' ἀρετὴν ἢ κακίαν ἐνέργεια γινομένη. ὧν οὖν αἱ πράξεις αἱρετώτεραι, ταῦτα αἱρετώτερα· οἷον εἰ τὸ τὰ δίκαια πράσσειν τοῦ τὰ ἀνδρεῖα πράσσειν αἱρετώτερον, καὶ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα. ἔστι δὲ πρᾶξις μὲν ἡ πρὸς τὸ τέλος τείνουσα ἐνέργεια, ἔργον δὲ τὸ τέλος.

π 2217 Πρᾶξις: ἡ προσοδία. Πολύβιος· μετὰ τῶν ἐν τῇ πατρίδι φίλων τρίτον πρᾶξιν κατασκευασαμένου καὶ προσενεγκόντος τῷ Φαβίῳ τὸν λόγον. καὶ αὖθις Πολύβιος· ὁ δὲ συνεστήσατο πρᾶξιν ἐπὶ τοὺς Αἰτωλοὺς διά τινος Ἰάσονος· ὃς διαπεμψάμενος πρὸς Ἀγήταν τὸν τῶν Αἰτωλῶν στρατηγὸν ὡμολόγησε τὴν ἄκραν αὐτοῖς παραδώσειν τὴν ἐν τοῖς Φανοτεῦσι.

π 2218 Πραξιτέλης, Πραξιτέλους· ὄνομα κύριον.

π 2219 Πραόνως· Ἀριστοφάνης· σὺ δὲ μὴ πρὸς ὀργήν, Αἰσχύλε, ἀλλὰ πραόνως ἔλεγχ', ἐλέγχου. λοιδορεῖσθαι δ' οὐ πρέπει ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας.

π 2220 Πρᾶος· ὅτι τὸν πρᾶον εἰς τὸν ἀργὸν καὶ ἀκίνητον μεταλαμβάνουσι. καὶ ζήτει ἐν τῷ ἐγκράτεια.

π 2221 Πραότης: ἀοργησία. ἂν δέ τις τῆς πραότητος γένος ἀποδῷ τὴν ἐγκράτειαν καὶ ὁρίσηται αὐτὴν ἐγκράτειαν ὀργῆς, οὐκ ὀρθῶς ἀποδίδωσιν· οὐ γὰρ τὸ ἐξ ὑποθέσεώς τινι ἀκολουθοῦν εἴη ἂν καὶ γένος. τὸ γὰρ γένος ἀχώριστον. Πραότης, ἐπὶ θεοῦ ἡ μικρὰ τιμωρία. Δαβίδ· ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. Πρᾶος δὲ ἀπὸ τοῦ ῥᾷον, ῥᾷος, καὶ πρᾶος.

π 2222 Πραπίς: ἡ φρήν. Ὅμηρος· εἰδύεσι πραπίδεσσι.

π 2223 Πράσις.

π 2224 Πρασιανός· ὅτι Πρασιανὸς λέγεται καὶ Βενετιανὸς καὶ Παλμουλάριος καὶ Σκουτάριος παρὰ Μάρκῳ Ἀντωνίνῳ,

π 2225 Πρασιαί: πόλις Λακωνική. Ἀριστοφάνης: ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ πεντάκις καὶ πολλῷ δεκάκις· ἀπολεῖσθε σήμερον.

π 2226 Πρασιαί: αἱ τοῦ κήπου λαχανίαι. καὶ Πράσιον, τὸ λάχανον.

π 2227 Πράσιον χρῶμα. ἄλλοις στάσεως ἀφορμὴν ἢ μέρους Πρασίου στοργὴν Ἰουστινιανὸς ἐπενεγκὼν ἀνῄρει.

π 2228 Πράσου φύλλῳ τὸ τῶν ἐρώτων δέδεται βαλάντιον: ἐπὶ τῶν δι' ἔρωτα πολλὰ ἀναλισκόντων, καὶ ἀσωτευομένων. ζήτει ἐν τῷ βασανίσας.

π 2229 Πράττεσθαι: ἀπαιτεῖσθαι. τῶν δὲ Ἰταλικῶν μηδένα πράττεσθαι τέλος.

π 2230 Πρατίνας, Πυρρωνίδου ἢ Ἐγκωμίου, Φλιάσιος, ποιητὴς τραγῳδίας· ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ ἐπὶ τῆς ο' Ὀλυμπιάδος, καὶ πρῶτος ἔγραψε Σατύρους. ἐπιδεικνυμένου δὲ τούτου συνέβη τὰ ἰκρία, ἐφ' ὧν ἑστήκεσαν οἱ θεαταί, πεσεῖν, καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη Ἀθηναίοις. καὶ δράματα μὲν ἐπεδείξατο ν', ὧν Σατυρικὰ λβ'· ἐνίκησε δὲ ἅπαξ.

π 2231 Πραττόμενοι· δοτικῇ. μηδὲν αἴσχιστον τῇ πόλει πραττόμενοι. αἰτιατικῇ δέ· καὶ φόρους καὶ ἀρχὰς πραττόμενοι.

π 2232 Πραττομένους: ἀπαιτουμένους. Ἰσοκράτης· καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους. πραττόμενος δὲ τοὺς τῶν πλοίων κυρίους, τέλους δὲ οὐδενὶ αἴσθησιν παρεχόμενος.

π 2233 Πράττω: τὸ ἐνεργῶ. ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτῷ ἐνόσει.

π 2234 Πραῖδα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2235 Πραινεστός: ὄνομα τόπου.

π 2236 Πραιπόσιτος: εἶδος ἀξιώματος.

π 2237 Πραιπόσιτος· ζήτει ἐν τῷ Σαλούστιος.

π 2238 Πραιτούρα.

π 2239 Πραίτωρ: μετὰ τοὺς χιλιάρχους αὖθις ἐπὶ τοὺς ὑπάτους ἐπανῆλθον οἱ Ῥωμαῖοι, καὶ πρῶτος στρατηγὸς ἀπεδείχθη Φρούριος Κάμιλλος, παῖς Καμίλλου τοῦ πολλάκις μοναρχήσαντος· ὃν πραίτωρα τῇ ἰδίᾳ γλώττῃ οἱ Ῥωμαῖοι ὠνόμασαν, ἤγουν στρατηγόν.

π 2240 Πραιτώριον.

π 2241 Πραίφεκτος: ναύαρχος.

π 2242 Πραίφεκτοι: ιβʹ ἄρχοντες προβεβλημένοι ὑπὸ τῶν ὑπάτων, οἳ τοῖς ὑπάτοις τοὺς ἐπιτηδειοτάτους πρὸς τὴν ἀληθινὴν χρείαν ἐκ τῶν παραγεγονότων συμμάχων ἱππεῖς τε καὶ πεζοὺς ἐξέλεγον, τοὺς καλουμένους ἐκτραορδιναρίου, ὃ μεθερμηνευόμενον ἐπιλέκτους δηλοῖ.

π 2243 Πρέμνον: στέλεχος δένδρου. Ἀριστοφάνης· ἥκεις ἔχων πρέμνον πράγματος πελωρίου. ὅ ἐστι χρήσιμόν τι εἰσηγούμενος. ὅτι οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χάρακα ἄριστον, ὃς ἂν ἔχῃ πλείστας ἐκφύσεις καὶ μεγάλας πέριξ τοῦ πρέμνου. καὶ ζήτει ἐν τῷ χάραξ.

π 2244 Πρεών, πρεόνος, ὡς πρών. πρωνός. αἱ τόσσον ὕδωρ εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος.

π 2245 Πρέσβα: ἐντιμοτάτη.

π 2246 Πρεσβεύεσθε: πρέσβεις πέμπετε. καὶ Πρεσβεύω. παρὰ Σοφοκλεῖ· ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγώς, καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον. ὁ Ἡρακλῆς φησι ψυχορραγῶν.

π 2247 Πρεσβεύω· δοτικῇ. αἰτιατικῇ δέ· καὶ πρὸς αὐτῆς τῆς ὀργάδος ἣν πρεσβεύεις.

π 2248 Πρεσβεῖα: τιμάς, γέρα. καὶ χρηστὰ πρεσβεῖα τούτῳ τῆς μνήμης νῦν τε καὶ ἀεὶ νέμει.

π 2249 Πρεσβεῖον. ὁ δὲ Περίανδρος, ὁ Κυψέλου υἱὸς τοῦ βασιλέως Κορίνθου, τὴν βασιλείαν κατὰ πρεσβεῖον λαμβάνει.

π 2250 Πρέσβειρα: ἔντιμος.

π 2251 Πρέσβεις· ὅτι οὗτοι ἦσαν οἱ φιλόσοφοι οἱ ἐς Περσίδα διαπρεσβευσάμενοι σὺν Ἀρεοβίνδῳ· Δαμάσκιος ὁ Σύρος, Σιμπλίκιος ὁ Κίλιξ Εὐλάλιος τε ὁ Φρύξ, Πρισκιανὸς ὁ Λυδός, Ἑρμείας τε καὶ Διογένης οἱ ἐκ Φοινίκης, Ἰσίδωρος ὁ Γαζαῖος. οὗτοι πάντες οἴκαδε ἀπενόστησαν, χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ· καὶ ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας οὐκ ἐν βραχεῖ τινι καὶ ἠμελημένῳ, ἀλλ’ ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος ἐς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησεν. ὡς γὰρ οἱ Ῥωμαῖοι καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ συνθήκας, μέρος ὑπῆρχε τῶν κατ’ αὐτὰς ἀναγραμμένων τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας ἐς τὰ σφέτερα ἤθη κατιόντας βιοτεύειν ἀδεῶς τολοιπὸν ἐφ’ ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων φρονεῖν ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους.

π 2252 Πρέσβις, πρέσβεως, προπαροξυτόνως. οὐχὶ δὲ ἀπὸ τῆς πρεσβεὺς εὐθείας· οἱ γὰρ λέγοντες ἁμαρτάνουσι. λέγεται δὲ καὶ Πρέσβεων καὶ Πρεσβευτῶν, ἑκατέρως παρὰ τοῖς ῥήτορσιν. ἔστι δὲ τὸ μὲν καθωμιλημένον καὶ Ἑλληνικὴν ἀναλογίαν σῷζον, ὅταν εἴπωσι πρέσβεις. εὑρίσκομεν δὲ καὶ πρεσβευτάς.

π 2253 Πρεσβυγένεια: παλαιοτέρα γένεσις. καὶ συγκριτικῶς.

π 2254 Πρεσβυγενής.

π 2255 Πρεσβυτάτην: ἐντιμοτάτην.

π 2256 Πρεσβυτερεῖον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2257 Πρεσβύτερος: τιμιώτερος, μείζων. ὁ δὲ τὴν κατασκευὴν τοῦ νεὼ πρεσβυτέραν τῆς ἑαυτοῦ ῥᾳστωνεύσεως ποιησάμενος. ἀντὶ τοῦ μείζονα, τιμιωτέραν. καὶ τοὺς βωμοὺς κατέστρεψεν, ἐφ' ὧν ὤμοσαν ἡ στρατιὰ τὰ αὐτοῦ πρεσβύτερα ποιήσασθαι.

π 2258 Πρεσβύτερος Κόδρου: ἀντὶ τοῦ παλαιότερος. παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν. ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου. λέγεται δὲ καὶ Πρεσβύτερα, τὰ τιμιώτερα. ἡ δὲ στρατιὰ ἔλεγε τὰ ἑαυτῆς πρεσβύτερα ποιήσασθαι.

π 2259 Πρευμενής: πρᾶος.

π 2260 Πρηγορεῶνος: τοῦ λαιμοῦ.

π 2261 Πρήθω: τὸ καίω.

π 2262 Πρημαινούσας τε θυέλλας· Ἀριστοφάνης Νεφέλαις. θύελλα, συστροφὴ τοῦ ἀνέμου. πρημαινούσας δὲ μαινομένας, καὶ λάβρως φυσώσας· πρῆσαι γὰρ τὸ φυσῆσαι. Ὅμηρος· ἐν δ' ἄνεμος πρῆσε μέσον ἱστίον.

π 2263 Πρηνές: ἐπὶ πρόσωπον. καὶ Πρηνής.

π 2264 Πρῆνες: οἱ προνενευκότες τόποι τῶν ὀρέων. ἢ γὰρ ἴσον πρηῶνι Μαλείης, ᾧ ἐκυκήθη κῦμα, πολυψάμμους ὦσεν ἐπὶ ψαμάθους.

π 2265 Πρηξῖνος: ὄνομα κύριον. καὶ Πρήξωνος.

π 2266 Πρῆσαι: καῦσαι. Πρῆσε δὲ ἐφύσησε.

π 2267 Πρήσσουσα: διαπερῶσα.

π 2268 Πρηστήρ: ἀστραπή, κεραυνός. ὤλεσε γὰρ πρηστήρ σε κεραύνιος· αἱ δ' ἐπὶ μάνδραν ὀψὲ βόες νιφετῷ σπερχόμεναι κατέβαν.

π 2269 Πρηστήρ: πῦρ ἀπ' οὐρανοῦ. ἢ νέφος περισχεθὲν πυρὶ μετὰ πνεύματος βιαιοτάτου. πνεύματος μετὰ βροντῶν καὶ πρηστήρων ἐξαναστάντος Λιβυκοῦ καὶ ταραχὴν τοῦ κλύδωνος εἰργασμένου κακωθῆναι τὰς ναῦς. καὶ αὖθις· πολλὰ δὲ φυσήματα ἀπροόρατα ἐμπίπτει, πολλοὶ δὲ πρηστῆρες βιαιότατοι καὶ μεγέθη κυμάτων.

π 2270 Πρῆστις: εἶδος κήτους θαλασσίου. ἡ λεγομένη μάλη· ὃ καὶ δυσανταγώνιστόν ἐστι.

π 2271 Πρίαμαι· αἰτιατικῇ.

π 2272 Πριάμενος: ἀγοράσας. Σοφοκλῆς· οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν, ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.

π 2273 Πριαμωθῆναι: ξυρηθῆναι· τὸ γὰρ τοῦ Πριάμου πρόσωπον ξυρίας ἐστί.

π 2274 Πρίαμος: ὄνομα κύριον.

π 2275 Πρίαπος: ὁ αὐτός ἐστι τῷ Διονύσῳ. ἐν Ἐπιγράμμασι· Ἀγροιώτᾳ τῷδε μονοστόρθυγγι Πριήπῳ θῆκεν ὁ καρποφύλαξ δενδριακὴν θυσίαν. καὶ αὖθις· Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν δῶρα.

π 2276 Πρίαπος: τὸ ἄγαλμα τοῦ Πριάπου τοῦ Ὥρου παρ' Αἰγυπτίοις κεκλημένου ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ σκῆπτρον κατέχον, ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θάλασσαν· ἐν δὲ τῇ εὐωνύμῳ κρατοῦν τὸ αἰδοῖον αὐτοῦ ἐντεταμένον, διότι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα φανερὰ καθίστησι. τὰ δὲ πτερὰ τὴν ταχυτῆτα τῆς κινήσεως· τὸν δὲ κύκλον τοῦ δίσκου τὴν περιφέρειαν· ταυτὸν γὰρ τῷ ἡλίῳ δοξάζουσι.

π 2277 Πρίαπος ἐκ τοῦ Διὸς καὶ τῆς Ἀφροδίτης συνελήφθη· ἡ δὲ Ἥρα ζηλοτυπήσασα μαγγανείᾳ τινὶ ἥψατο τῆς κοιλίας τῆς Ἀφροδίτης καὶ παρεσκεύασεν ἄμορφον καὶ αἰσχρὸν τεχθῆναι τὸ βρέφος καὶ περισσόσαρκον. ἡ δὲ μήτηρ ἔρριψεν αὐτὸ εἰς ὄρος· ποιμὴν δὲ ἀνεθρέψατο. εἶχε δὲ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰδοῖον ἐπάνω εἰς τὴν πυγήν. ἐκλήθη δὲ Περίαπος κατὰ τὴν Ἰταλῶν γλῶτταν καὶ τιμᾶται παρὰ ποιμέσι. τὸ δὲ ἀφίδρυμα αὐτοῦ ἐστι παιδίον, μόριον ἔχον μέγα καὶ ἐντεταμένον.

π 2278 Πριβάτον: Ῥωμαία ἡ λέξις.

π 2279 Πρίγκιπες: οὕτω καλοῦσι Ῥωμαῖοι τοὺς ἀκμαιοτάτους ταῖς ἡλικίαις· τοὺς γὰρ νεωτέρους καὶ πενιχροτέρους γροσφομάχους καλοῦσιν, εἶτα τοὺς πρίγκιπας· τοὺς δὲ πρεσβύτας τριαρίους· καὶ τοὺς ἀστάτους καλουμένους, οἵ εἰσι πρότεροι τῶν πριγκίπων. καὶ αὗται μὲν αἱ ὀνομασίαι. ἡ δὲ ἐξόπλισις τοὺς μὲν τριαρίους εἶναι χʹ, τοὺς δὲ πρίγκιπας ͵ασʹ, ἴσους δὲ τούτοις τοὺς ἀστάτους, τοὺς δὲ γροσφομάχους πλείους τῶν τετρακισχιλίων· φορεῖν δὲ μάχαιραν καὶ γρόσφον.

π 2280 Πρίγκιψ: ὁ ἔξαρχος τῆς τάξεως παρὰ Ῥωμαίοις.

π 2281 Πρίεται: σχίζεται.

π 2282 Πριηνεύς· καὶ Πριήνη, ὄνομα πόλεως.

π 2283 Πρίημι: ἀγοράζω.

π 2284 Πρίηπος: ὁ Πρίαπος. κατὰ τροπὴν τοῦ α εἰς η.

π 2285 Πριμιγγιλίων: τιμῶν· ἤτοι βασιλικῶν δωρεῶν· ἢ προνομίων.

π 2286 Πριμικήριος: ὁ πρῶτος τάξεως τῆς τυχούσης.

π 2287 Πριμολοκάριος: ὁ τὸν ἀκρότατον βαθμὸν τῆς στρατιᾶς ἔχων, ὕστατος δὲ τῇ τιμῇ.

π 2288 Πριμοπιλάριος: ὁ τὸ μεῖζον ἀξίωμα τῶν στρατιωτῶν ἔχων παρὰ Ῥωμαίοις.

π 2289 Πρὶν ἢ πτίσαι τὰ ἄλευρα: παροιμία. καί, πρὶν τοὺς ἰχθῦς ἑλεῖν, σὺ τὴν ἅλμην κυκᾷς. ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων. καί, πρὶν ἐσφάχθαι, δέρεις.

π 2290 Πρίνινοι ἄνθρακες: στερεοί, καὶ σκληροί; ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. Ἡσίοδος· πρίνου δὲ γύην. καὶ πάλιν· πρίνινος γὰρ βουσὶν ὀχυρώτατός ἐστι. Πρῖνος, ξύλον πικρότατον. Ἀριστοφάνης· σὺ δ᾽ εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς. καιομένη γὰρ ἡ πρῖνος ψόφον ποιεῖ.

π 2291 Πρὶν καὶ λύκος ὄϊν ποιμαινεύσει: ἐπὶ τοῦ ἀδυνάτου. ἢ οὕτω, πρίν κεν ὄϊν λύκος ποιμαινεύσει.

π 2293 Πρὶν λαχεῖν τὰ κοινὰ κατεσθίεις: τουτέστι πρὶν κληρωθῆναι πρὸ διανομῆς ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.

π 2294 Πρῖνος: ξύλον πικρότατον, ἥτις καιομένη ψόφον ποιεῖ.

π 2295 Πριόνωτοι: ὄφεις οὕτω λεγόμενοι.

π 2296 Πρίου: ἐλευθέρωσον.

π 2297 Πρίω: ἀγοράσω.

π 2298 Πρίων: τὸ τεκτονικὸν ἐργαλεῖον. ἐν Ἐπιγράμμασιν· ἰθύδρομόν τε πρίονα, μιλτίῳ βάμματι πειθόμενον. καὶ αὖθις· καὶ τετανὸν νώτῳ καμπτόμενον πρίονα. καὶ Βάβριος· κἀκεῖνος εἶπε τὰς σιαγόνας πρίων. ἀντὶ τοῦ βρύκων. ὁ πρίων ἀπῆν, οὐδ᾽ ᾔδειν πρίω. Ἀριστοφάνης. ἀντὶ τοῦ οὐδὲ ἐγίνωσκον τὸ πρίω ῥῆμα. οὐδὲ γὰρ ἐδεῖτο ἀγοράσαι, οἴκοι ἔχων. πάντα οὖν φησι· τοῦ ἀγροῦ φέροντος, οὐδὲν ἔδει μοι τοῦ πρίασθαι.

π 2299 Πρισθείς: ἐξαφθείς, δεσμηθείς. ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων, ἐκνάπτετ᾽ αἰέν, ἕς τ᾽ ἀπέψυξε βίον.

π 2300 Πρίσκιλλα: ὄνομα κύριον.

π 2301 Πρίσκος, Πανίτης, σοφιστής, γεγονὼς ἐπὶ τῶν χρόνων Θεοδοσίου τοῦ μικροῦ. ἔγραψεν ἱστορίαν Βυζαντιακήν, καὶ τὰ κατὰ Ἄτταλον ἐν βιβλίοις ηʹ· μελέτας τε ῥητορικάς, καὶ ἐπιστολάς.

π 2302 Πρίσκος, υἱὸς τοῦ μεγάλου Κωνσταντίνου. καὶ ζήτει αὐτὸν πλατύτερον ἐν τῷ Κρίσκος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2303 Πρίσκος, Ἐμεσηνός· ὅσπερ ἀλλότρια γράμματα μιμεῖσθαι ὑπερφυῶς ἐξηπίστατο τεχνίτης τε ἦν περὶ τὸ κακὸν τοῦτο δεξιὸς ἄγαν. ἐτύγχανε δὲ ἡ τῶν Ἐμεσηνῶν ἐκκλησία τῶν τινὸς ἐπιφανῶν κληρονόμος γεγενημένη χρόνοις τισὶ πολλοῖς ἔμπροσθεν. ἦν δὲ οὗτος ἀνήρ, πατρίκιος μὲν τὸ ἀξίωμα, Μαμιανὸς δὲ ὄνομα, γένει λαμπρὸς καὶ περιουσίᾳ χρημάτων. ἐπὶ δὲ Ἰουστινιανοῦ ὁ Πρίσκος διαριθμησάμενος πόλεως τῆς εἰρημένης τὰς οὐσίας πάσας, εἴ τινας εὗρε πλούτῳ περιακμάζοντας, καὶ πρὸς ζημίαν χρημάτων μεγάλην διαρκῶς ἔχοντας, τούτων διερευνησάμενος ἐς τὸ ἀκριβὲς τοὺς προπάτορας, γράμμασιν αὐτῶν παλαιοῖς ἐντυχών, βιβλίδια πολλὰ ὡς παρ' ἐκείνων γεγραμμένα πεποίηται, ὁμολογούντων πολλὰ χρήματα τῷ Μαμιανῷ ἀποδώσειν ἅτε παραθήκης λόγῳ ταῦτα παρ' ἐκείνου κεκομισμένοι. τό τε ὡμολογημένον ἐν τούτοις δὴ τοῖς καταπλάστοις γραμματείοις ξυνίει οὐχ ἧσσον ἢ ἐς ρʹ κεντηνάρια. καὶ ἀνδρὸς δέ τινος, ὅσπερ ἐπὶ τῆς ἀγορᾶς τηνικάδε χρόνου καθήμενος, ἡνίκα ὁ Μαμιανὸς περιῆν, δόξαν τε πολλὴν ἐπί τε ἀληθείᾳ καὶ ἀρετῇ ἔχων, ἅπαντα ἐπετέλει τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαστον αὐτῶν οἰκείοις ἐπισφαγίζων αὐτὸς γράμμασιν, ὅνπερ ταβελλίωνα καλοῦσι Ῥωμαῖοι, τὰ γράμματα δαιμονίως μιμησάμενος, τοῖς διοικουμένοις τὰ πράγματα τῆς τῶν Ἐμεσηνῶν ἐκκλησίας παρέδωκεν, ὡμολογηκόσι, μοῖραν αὐτῷ τινὰ κεῖσθαι τῶν ἐνθένδε πορισθησομένων χρημάτων. ἐπεὶ δὲ ὁ νόμος ἐμποδὼν ἵστατο, τὰς μὲν ἄλλας δίκας ἁπάσας ἐς τριακοντοῦτιν παραγραφὴν ἄγων, ὀλίγας δὲ ἄττας καὶ τὰς ὑποθηκαρίας πάσας μʹ ἐνιαυτῶν μήκει ἐκκρούων, ἐς Βυζάντιον ἀφικόμενοι καὶ χρήματα τῷ βασιλεῖ Ἰουστινιανῷ προέμενοι, μελλήσει οὐδεμιᾷ ἔπεισαν γράψαι νόμον, οὐ χρόνοις τὰς ἐκκλήτους τοῖς καθήκουσιν, ἀλλ' ἐνιαυτῶν ρʹ πλήθει δικῶν τῶν αὐταῖς προσηκουσῶν ἀποκεκλεῖσθαι. κεφάλαιον Ἰουστινιανοῦ ρʹ ἐτῶν πλήθει κρατυνόμενον.

π 2304 Πριστηροειδὴς αἰχμή: ἐκ τοῦ πρίζω.

π 2305 Πρό: ἀντὶ τοῦ ἀντί. Φιλήμων Παγκρατιαστῇ· δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου. ἀθλεύων πρὸ ἄνακτος. Ὅμηρος.

π 2306 Προάγω· αἰτιατικῇ.

π 2307 Προαγωγός: διδάσκαλος κακῶν.

π 2308 Προαγωγεία.

π 2309 Προάγωνος.

π 2310 Προαγρυπνῶ· γενικῇ.

π 2311 Προαλάμενος: προπηδήσας. καὶ προαλάμενος· τῆς πληθύος μετεχώρησεν ὡς Ναρσῆν. ὁ δὲ ἐνηγκαλίσατο αὐτόν.

π 2312 Προαλέστατον: προπετέστατον.

π 2313 Προαλίσαντας: προαθροίσαντας. Ἰώσηπος· τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας, ἐναφεῖναι τοῖς δράσουσιν αὐτάς.

π 2314 Προαναθρώσκειν: προπηδᾶν.

π 2315 Προαναλώθη.

π 2316 Προαναρπάζω· γενικῇ.

π 2317 Προανάσχοι: προανατείλοι.

π 2318 Προανατάξωμαι· Δαβίδ· ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

π 2319 Προανεκρούετο· ἄποινον ὁ θεόπτης Μωϋσῆς τῷ Ἰσραὴλ προανεκρούετο. ἀντὶ τοῦ προκατήρχετο τῆς ᾠδῆς, προανεβάλλετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2320 Προαποθνήσκω· γενικῇ.

π 2321 Προασπίζομαι· γενικῇ.

π 2322 Προάστειον, προαστείου. ὁ δὲ Σοφοκλῆς προαστίου, διὰ τοῦ ι. τὸν ἄνδρ' ἐφ' ἡμῖν; οὗτος ἐκ προαστίου.

π 2323 Προαύλιον: τὸ ἔμπροσθεν τοῦ αὐλείου.

π 2324 Προβάλλεσθαι: ἀντὶ τοῦ προτείνεσθαι. Θουκυδίδης· τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ τάξονται δι' ὄχλου μάλλον ἔσται ἀεὶ προβαλλομένοισι. καὶ ὁ Ῥήτωρ· τὴν ἀειλογίαν ὁρῶ ἀεὶ προβαλλομένους.

π 2325 Προβάλιθος: ὄνομα κύριον.

π 2326 Προβαλίσιος: ὄνομα κύριον.

π 2327 Προβαλλομένους: ἀντὶ τοῦ ὑποτιθεμένους. οἷον πρὸ τῆς πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους. ὁ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ τῷ κατ' Αἰσχίνου, τὴν προαίρεσιν, φησί, τῆς πολιτείας προβεβλημένην καὶ ἄπιστον εἰπεῖν. ἀντὶ τοῦ ἐλαφρῶς ἔχουσαν. ἐν δὲ τῷ κατὰ Μειδίου· καὶ προυβαλόμην, φησίν, ἀδικεῖν τοῦτον περὶ τὴν ἑορτήν. ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. ἐν δὲ τοῖς Φιλιππικοῖς φησι· προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτε οἶδεν οὔτε ἐθέλοι. ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μάχην.

π 2328 Προβαλόντες κυσὶν ἄρνας: ἐπὶ τῶν τοὺς ἀπράγμονας τοῖς συκοφάνταις παραδιδόντων.

π 2329 Πρόβασις: ἡ τῶν βοσκημάτων κτῆσις. Ὅμηρος· κειμήλιά τε πρόβασίν τε. καὶ παροιμία· Προβάτων οὐδὲν ὄφελος, ἐὰν ὁ ποιμὴν ἀπῇ· ἐπὶ τοῦ ἀναγκαίου.

π 2330 Πρόβατα: πάντα τὰ τετράποδα.

π 2331 Προβατεύς: ὁ τῶν προβάτων ποιμήν. καὶ Προβατέων, χωρικῶν ἀνθρώπων.

π 2332 Προβατίου βίον ζῆν: ἐπὶ τῶν μωρῶν καὶ ἀνοήτων. τὰ γὰρ πρόβατα οὐδὲν ἐργάζεται, καὶ ζῇ. ἢ διὰ τὸ ἀδρανές.

π 2333 Προβατοπώλης: ὁ Καλλίας καὶ ἡ ἐπ' αὐτοῦ πολιτεία· ἢ Λυσικλῆς, υἱὲ Ἀσπασία. στυππειοπώλης δὲ ὁ Εὐκράτης, ὃς καὶ Στύππαξ ἐκαλεῖτο. βυρσοπώλης δὲ ὁ Κλέων. οὐκ ἐπὶ τοῦ πωλεῖν τὰς βύρσας παρείληπται, ἀλλ' ἐπὶ τοῦ τῆς πόλεως ἀποδίδοσθαι τὰ πράγματα.

π 2334 Πρόβαινε: τοῦτο ὡς ἐπὶ ὄχλου πομπευόντων τινά.

π 2335 Προβεβηκόσι: παλαιοτέροις. προσήκειν τὸ φιλόθεον τοῖς ἤδη προβεβηκόσι καὶ πόρρω ἐλαύνουσι, τοῦτο μὲν ἡλικίας, τοῦτο δὲ φιλοσοφίας.

π 2336 Προβέβουλα: προέκρινα.

π 2337 Προβήμασιν: ἀντὶ τοῦ πηδήμασι. καὶ ζήτει ἐν τῷ ἐμβάς.

π 2338 Προβιβάζεις: παραινεῖς, πείθεις. εὖ προβιβάζεις.

π 2339 Προβιβάσαντες: προάρξαντες.

π 2340 Πρόβλημα: θεώρημα συντεῖνον πρὸς θεωρίαν καὶ γνῶσιν. φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς.

π 2341 Πρόβλημα καὶ ὁ παροιμιακὸς λόγος.

π 2342 Πρόβλημα· ἐπὶ παντὸς πράγματος τέσσαρά ἐστιν· εἰ ἔστιν; τί ἐστιν; ὁποῖον τί ἐστιν; καὶ διὰ τί ἐστι; τὸ μέν, ὅτι ἐστὶ τάδε συμβεβηκότα, λαμβάνομεν ἐκ τῆς ἐναργείας, καὶ τὸ τί ἐστι τοῦ ὁρισμοῦ ἐξ αὐτῶν τεκμαιρόμεθα· ἐκ δὲ τοῦ ὁρισμοῦ, οὐχ ὅτι ἐστὶ τὰ συμβεβηκότα γινώσκομεν, ἀλλὰ τὸ τί ἐστι καὶ ὁποῖον καὶ διὰ τί. ὥστε διὰ μὲν τοῦ ὅτι ἐστὶ τὰ συμβεβηκότα, τὸ τί ἐστι τοῦ ὁρισμοῦ γινώσκομεν· διὰ δὲ τοῦ τί ἐστι τοῦ ὁρισμοῦ, τὰ λοιπὰ προβλήματα τῶν συμβεβηκότων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2343 Προβλῆτας: ἔξω προβεβλημένας ὑπὲρ ἀσφαλείας· οἱ δὲ τὰς πρώτας προβεβλημένας· ὃ καὶ μᾶλλον. Πρόβλημα δὴ καὶ ἡ ἀσφάλεια. πρόβλημα δὲ οὐδὲν ἦν πρὸ τῆς στρατοπεδείας.

π 2344 Προβλῆτες· Φιλοκτήτης φησίν· ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσία θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι· οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασε.

π 2345 Προβολάς: ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων ἢ τειχῶν ἢ τινῶν ἄλλων δυνάμεων ἐπὶ σωτηρίᾳ καὶ κράτει γινομένων. οὕτως Δημοσθένης. παρὰ δὲ Αἰσχίνῃ ἡ προβολὴ τοὔνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν.

π 2346 Προβολή: γραφὴ κατὰ τῶν συκοφαντούντων. φέρε νῦν, ὁρισώμεθα τὴν προβολὴν αὐτοῦ τῆς αἱρέσεως, ἐφ' ᾗ τὸν παρόντα τοῦτον ἐποιήσατο βίον.

π 2347 Προβόλιον: εἶδός τι δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν.

π 2348 Πρόβολον: πρόμολον, πρόμαχον. καὶ Πρόβολος ἐμός, προβαλλόμενος, προστάτης, τεῖχος, ἀσφάλεια. Ἀριστοφάνης Νεφέλαις· πρόβολος ἐμός, σωτὴρ δόμοις.

π 2349 Προβούλευμα: τὸ ὑπὸ τῆς βουλῆς ψηφισθέν, πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

π 2350 Πρόβολος: τὸ τῶν σιτίων δοχεῖον.

π 2351 Πρόβολος: ἔξαρχος τοῦ βουλευτηρίου. Εὐνάπιος· ὁ δὲ βασιλεὺς τούτους δεξάμενος κτήματά τε αὐτοῖς καὶ χώραν ἀπένειμε καὶ προβόλους τε ὑπελάμβανε γενναίους καὶ ἀδαμαντίνους ἔχειν πρὸς τὰς ἐκείνῃ τῶν Οὔννων ἐμβολάς.

π 2352 Προβόλῳ: προβεβλημένῃ εἰς θάλασσαν πέτρᾳ.

π 2353 Πρόβολοι: αἱ εἰς θάλασσαν προκείμεναι πέτραι, καὶ οἷον ἀκταί τινες. Δημοσθένης ἐν Φιλιππικοῖς.

π 2354 Πρόβος: ὄνομα κύριον.

π 2355 Πρόβουλοι: πρὸς τοῖς οὖσι διῃρέθησαν ἄλλοι κ' εἰσηγησόμενοι τὰ δοκοῦντα τῇ πολιτείᾳ μετὰ τὴν ἐν Σικελίᾳ συμφοράν.

π 2356 Προβοσκίς: ἡ τοῦ ἐλέφαντος προνομαία.

π 2357 Πρὸ βραχέος. πρὸ ὀλίγου.

π 2358 Πρὸ γῆς· ἐγὼ δὲ φεύγω γῆν πρὸ γῆς φοβούμενος τὸν ἄγριον δεσπότην, ᾧ μᾶλλον ἵππων ἢ ἀνθρώπων μέλει. ὁ δὲ οὐκ ἀφῆκε διαξαίνειν αὐτόν, ἀλλ' εἴασε γῆν πρὸ γῆς ἀφιέναι, ἵνα μή, φησίν, ὧν ἐνθάδε τολμήσῃ παραπλήσια πάλιν.

π 2359 Προγινώσκω· αἰτιατικῇ.

π 2360 Προγράμματα· οἷς καὶ δῶρα συνέθηκε καὶ προγράμματα, δι' ὧν παρεκάλει ἑτοιμάζειν τὰς δυνάμεις.

π 2361 Προγραφαί· αἱ προγραφαὶ ἐκεῖναι αἱ κεκηρυγμέναι λέγονται βουλήσει Ἀντωνίου γενέσθαι. καὶ Αἰλιανὸς λέγει· ἐπανελθόντες γοῦν προγραφὰς καὶ τῶν ἐκ βουλῆς καὶ τῶν εἰς τὴν ἱππάδα τελούντων εἰργάσαντο, τούτους ἀποκτιννύντες. ἀντὶ τοῦ κατηγορίας.

π 2362 Προδείκτης. ἔχαιρε γὰρ μίμοις καὶ προδείκταις καὶ καθόλου πᾶσι τοῖς θαυματοποιοῖς.

π 2363 Προδήλως: φρονίμως, ἀνδρείως. Σοφοκλῆς· καλόν μοι τοῦδ' ὑπερπονουμένῳ θανεῖν προδήλως μᾶλλον.

π 2364 Προδικασία: οἱ τὰς ἐπὶ φόνῳ δίκας ἐγκαλούμενοι ἐν πρυτανείῳ πρὸ τῆς δίκης διατελοῦσιν ἐπὶ τρεῖς μῆνας· ἐν οἷς ἐξ ἑκατέρου μέρους λόγοι προάγονται. τοῦτό φασι προδικασίαν.

π 2365

Πρόδικος, Κεῖος, ὁ ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικὸς καὶ σοφιστής, σύγχρονος Δημοκρίτου τοῦ Ἀβδηρίτου καὶ Γοργίου, μαθητὴς Πρωταγόρου τοῦ Ἀβδηρίτου. ἐν Ἀθήναις κώνειον πιὼν ἀπέθανεν, ὡς διαφθείρων τοὺς νέους.

π 2366 Πρόδικον: δικαστὴν ἐπὶ φίλων, καὶ διαιτητήν. Ἀριστοφάνης Κενταύρῳ· ἐγὼ γάρ, εἴ τι ς' ἠδίκηκ', ἐθέλω δίκην δοῦναι πρόδικον ἑνὶ τῶν φίλων τῶν σῶν ἑνί. καὶ παροιμία· Προδίκου σοφώτερος. Ἀριστοφάνης Νεφέλαις· οὔτε γὰρ ἄλλῳ γ' ὑπακούσαιμεν πλὴν ἢ Προδίκῳ σοφίας καὶ γνώμης ἕνεκα. σοφιστὴς δὲ ὁ Πρόδικος, Κεῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντάδραχμον ἐπίδειξιν ἐποιήσατο. μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πρωταγόρᾳ καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν. οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτως· τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθειρεν ἢ Πρόδικος ἢ τῶν ἀδολέσχων εἷς γέ τις. διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισι· παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν. διδάσκαλος δὲ ἦν οὗτος καὶ Θηραμένους, τοῦ ἐπικαλουμένου Κοθόρνου, ὃς τῆς τῶν λ' τυραννίδος μετέσχε. κόθορνος δὲ ἐκαλεῖτο, ἐπεὶ καὶ τοῖς λ' συνέσπευδε καὶ τῷ πλήθει. φέρεται δὲ καὶ βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ Ἀρετῇ καὶ τῇ Κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτοῦ, προσκλῖναι τῇ Ἀρετῇ τὸν Ἡρακλέα καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν.

π 2367 Πρόδομος: ὁ νάρθηξ. ἐτύγχανε γὰρ ἐν τοῖς προδόμοις τοῦ ἱεροῦ.

π 2368 Προδόμῳ: τῇ πρὸ τοῦ οἴκου παστάδι.

π 2369 Προδότᾳ. Πολύβιος· δυσθεώρητόν τι ὁ τόπος ἔχει δυσπαράγραφον· τίνα γὰρ ὡς ἀληθῶς προδότην νομίζειν, οὐ ῥᾴδιον ἀποφήνασθαι. δῆλον γὰρ ὡς οὔτε τοὺς ἐξ ἀκεραίου συμπειθομένους τῶν ἀνδρῶν πρός τινας βασιλεῖς ἢ δυνάστας κοινωνίαν πραγμάτων εὐθέως προδότας νομιστέον, οὔτε τοὺς κατὰ περιστάσεις μετατιθέντας τὰς αὑτῶν πατρίδας ἀπό τινων ὑποκειμένων πρὸς ἑτέρας φιλίας καὶ συμμαχίας, οὐδὲ τούτους· πολλοῦ γε δεῖ· ἐπείτοι γε πολλάκις οἱ τοιοῦτοι τῶν μεγίστων ἀγαθῶν γεγόνασιν αἴτιοι ταῖς πατρίσιν· ἀλλ' ὅσοι τῶν ἀνδρῶν κατὰ τὰς δυσχερεῖς περιστάσεις ἢ τῆς ἰδίας ἀσφαλείας καὶ λυσιτελείας χάριν ἢ τῆς πρὸς ἀντιπολιτευομένους διαφορᾶς ἐγχειρίζουσι τοῖς ἐχθροῖς τὰς πόλεις, ἢ ὅσοι φρουρὰς εἰσδεχόμενοι καὶ συγχρώμενοι ταῖς ἔξωθεν ἐπικουρίαις πρὸς τὰς ἰδίας ὁρμὰς καὶ προθέσεις ὑποβάλλουσι τὰς πατρίδας ὑπὸ τὴν τῶν πλειόνων δυνατῶν ἐξουσίαν. τοὺς τοιούτους ὑπὸ τὸ τῆς προδοσίας ὄνομα μετρίως ἄν τις ὑποτάττοι πάντας· οἷς λυσιτελὲς μὲν ἀληθῶς ἢ κακὸν οὐδὲν οὐδέποτε συνεξηκολούθησεν, οὐδὲ ἐναντία πᾶσιν ὁμολογουμένως.

π 2370 Προδότις· θηλυκὸν δὲ διὰ τοῦ ι. ὦ προδότι καὶ παράγωγε καὶ μύραινα σύ.

π 2371 Προδωσίκομπος: ὁ ὑποσχετικός, ὁ τὰς ἑαυτοῦ ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενος, ἀλλὰ προδιδούς.

π 2372 Πρόδρομος: ὁ προτρέχων.

π 2373 Πρὸ δουλείας· ὁ δὲ κατεκρήμνισεν ἑαυτόν, θάνατον πρὸ δουλείας ὑπομένων.

π 2374 Προαιρεῖσθαι· αἰτιατικῇ.

π 2375 Προαιρέσιος, Παγκρατίου, Καππαδόκης ἀπὸ Καισαρείας, σοφιστής, μαθητεύσας ἐν Ἀντιοχείᾳ παρὰ Οὐλπιανῷ. γέγονε δὲ πρὸ Λιβανίου κατὰ τὰς Ἀθήνας σοφιστεύων καὶ τιμῶν ἔτυχε τῶν μεγίστων τοῦ αὐτοκράτορος Κωνσταντίνου. μελέτας ῥητορικάς. οὗτος ἐπὶ Ἰουλιανοῦ ἤκμαζε, σύγχρονος Λιβανίῳ τῷ σοφιστῇ· καὶ ὅπως λυποίη τοῦτον ὁ Ἰουλιανός, τὸν Λιβάνιον μεγάλως ἐθαύμαζεν.

π 2376 Προαίρεσις· Ἀριστοτέλης ἐν τοῖς Τόποις λέγει· δεῖξαι θέλοντες ὅτι μή ἐστιν ἐν ἀλόγῳ προαίρεσις, ληψόμεθα τὸν λόγον τῆς προαιρέσεως· ἔστι δὲ οὗτος πρὸ ἑτέρου αἵρεσις· ἀλλὰ μὴν τὸ ἄλλο πρὸ ἄλλου αἱρεῖσθαι ἐν τούτοις ἐστίν, ἐν οἷς καὶ τὸ βουλεύεσθαι· τὸ γὰρ ἄλλο ἄλλου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προκρῖναι μετὰ λόγου γίνεται· οὐδὲν δὲ τῶν ἀλόγων βουλεύεται· ὥστε οὐδὲ προαιρεῖται. Προαίρεσίς ἐστιν ὄρεξις βουλευτικὴ τῶν ἐφ' ἡμῖν, ἢ βούλευσις ὀρεκτικὴ τῶν ἐφ' ἡμῖν· τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλεύσεως ἐφιέμενος προαιροῦμαι. βουλὴ δὲ ἐστὶν ὄρεξις ζητητικὴ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν γινομένη. βουλεύεται γάρ τις, εἰ ὤφειλε μετελθεῖν τὸ πρᾶγμα, ἢ οὔ. εἶτα κρίνει τὸ κρεῖττον, καὶ γίνεται κρίσις. εἶτα διατίθεται καὶ ἀγαπᾷ τὸ ἐκ τῆς βουλῆς κριθὲν καὶ λέγεται γνώμη. ἐὰν δὲ κρίνῃ καὶ μὴ διατεθῇ πρὸς τὸ κριθὲν ἤγουν ἀγαπήσει αὐτό, οὐ λέγεται γνώμη. εἶτα μετὰ τὴν διάθεσιν γίνεται προαίρεσις, ἤγουν ἐπιλογή. προαίρεσις γάρ ἐστι δύο προκειμένων, τὸ αἱρεῖσθαι καὶ ἐκλέγεσθαι τοῦτο πρὸ τοῦ ἑτέρου. καὶ τοῦτο φανερόν, ὅτι βουλή ἐστι μετ' ἐπικρίσεως ἡ προαίρεσις, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας. προαιρετὸν γάρ ἐστι τὸ ἕτερον πρὸ τοῦ ἑτέρου αἱρετόν. οὐδεὶς δὲ προκρίνει τι, μὴ βουλευσάμενος· οὐδὲ προαιρεῖται, μὴ προκρίνας. ζήτει προαίρεσις καὶ βούλησις ἐν τῷ βούλησις.

π 2377 Προεγκεῖσθαι: ἐπικεῖσθαι.

π 2378 Πρόεγμα: στήριγμα.

π 2379 Προεδρία: διὰ τοῦ ι. ἄλλοις περισπούδαστον ἡ προεδρία. Προσεδρεία δὲ διὰ διφθόγγου. ἀπὸ τοῦ προσεδρεύω.

π 2380 Προεδρεύω· γενικῇ.

π 2381 Προεδρία: τιμῆς οὗτος ὁ τρόπος. ἐξῆν δὲ τῆς τιμῆς ταύτης τυχοῦσι καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ τοὺς προλαμβάνοντας οἵτινες ἢ ἐξεγείραντας αὐτοὺς εἰς τὸν ἐκείνων καθίσαι τόπον. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. Ἀριστοφάνης· νῦν δ' ἂν μὴ προεδρίαν φέρωσι, καὶ τὰ σιτία. ἀντὶ τοῦ λάβωσιν, ἀποφέρωσι. σιτία δὲ ἀντὶ τοῦ τὴν ἐν Πρυτανείῳ σίτησιν.

π 2382 Πρόεδρος: ὁ τῆς πολιτεῖας ἀρχηγὸς καὶ ἡγεμών. Πρόεδροι ἐκληροῦντο τὴν τῶν πρυτανέων καθ' ἑκάστην πρυτανείαν, εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης· οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. ὅτι δὲ ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτοὺς εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

π 2383 Προέηκε: προέπεμψε.

π 2384 Προεκαλινδοῦντο τοῦ Καίσαρος καὶ ἱκέτευον. προεκυλινδοῦντο δὲ κρεῖττον. ἀντὶ τοῦ ἔμπροσθεν τῶν ποδῶν ἐκυλίοντο. καὶ προεκυλινδεῖτο.

π 2385 Προέμβολα: τὰ πρὸς τῇ πρώρᾳ τῆς νηός. ὥσπερ ἀκροστόλια καὶ προέμβολα ἐκμιμησάμενοι.

π 2386 Προέμεν: πέμπειν.

π 2387 Προέμενος: ἐκδιδούς, προδούς, περιφρονήσας· προαφείς. ὁ δὲ τῶν φίλων ἐχρῆτο τοῖς βουλεύμασι, τὰ οἰκεῖα προέμενος· περὶ γὰρ οὐδεμίαν τῶν πολλῶν ἀρετῶν οὕτως ἐσπούδακεν ὡς περὶ τὴν μητέρα αὐτῶν, κατὰ τὸν Πυθαγόραν εἰπεῖν, αὐτὴν τὴν φιλίαν.

π 2388 Προεμπίπτειν· τὸν βασιλέα πάντων θεραπευόντων, αὐτὸς ἡσύχαζε, μὴ βουλόμενος προεμπίπτειν εἰς γνῶσιν.

π 2389 Προέντες: προδόντες.

π 2390 Προεξειρεσία: τοῦ πλοίου τόπος, ἐν ᾧ ἐρέττουσι. κωπωτῆρας δὲ ἐφ' ἑκατέραις πλευραῖς καὶ οἷον προεξειρεσίας τινὰς ἐμηχανήσαντο.

π 2391 Πρὸ ἔργου ἐτίθετο: προτιμότερον ἐτίθει. καὶ ἅμα φίλια τὰ κατὰ νώτου ἑαυτῷ τε καὶ τῇ στρατιᾷ καταλείπειν πρὸ ἔργου ἐτίθετο. καὶ αὖθις· τὴν Σποράκου χώραν κατασχεῖν τοῖς ὅπλοις πρὸ ἔργου εἶναι ἔλεγε.

π 2392 Προερρέθη: προελαλήθη.

π 2393 Πρόες: πρόπεμψον.

π 2394 Προέσθαι: προδοῦναι. λαβὼν δὲ τὸ ξίφος Πόρκιος Μάρκος καὶ καταληφθεὶς ὑπὸ τῶν πολεμίων ἐφονεύετο, κρίνων τὴν ψυχὴν προέσθαι μᾶλλον ἢ τὴν μάχαιραν καὶ πολλὰ λαβὼν τραύματα παραδόξως ἐσώθη.

π 2395 Προέσθαι: προτιμήσασθαι. αἰτιατικῇ. οὔτε γὰρ πρὸ ἐμοῦ οὔτε πρὸ ἄλλου ἀνδρὸς ἀγαθοῦ οὐδέ ἐστι προέσθαι τι τῶν κοινῇ συμφερόντων.

π 2396 Προεστέρνισα: περιεπτυξάμην. καὶ Προστερνισάμενος.

π 2397 Προετικός: χαριστικός.

π 2398 Προέτω: προπεμψάτω.

π 2399 Προεφήτευσεν.

π 2400 Προεχειρίσατο· αἰτιατικῇ.

π 2401 Προέχω· γενικῇ.

π 2402 Προεχώμεθα: ὑποβαλλώμεθα, ἢ προβαλλώμεθα.

π 2403 Προεύχομαι· γενικῇ.

π 2404 Προειδόμενοι: προγνῶσται.

π 2405 Προειδῶ· γενικῇ.

π 2406 Προείλαντο: ἠθέλησαν.

π 2407 Προειλόμεθα: προήκαμεν.

π 2408 Προείμεθα: προδίδομεν.

π 2409 Πρόεισι: προπέμπει.

π 2410 Προεῖται. λαβὼν εἰς τὰς χεῖρας προεῖται αὐτόν. τουτέστιν ἀφήσει, καταλείψει.

π 2411 Προηγγελκέναι: προμεμηνυκέναι.

π 2412 Προηγορεῶνας: τοὺς βρόγχους τῶν ὀρνέων, κυρίως τοὺς λεγομένους προλόγους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ καὶ ἐπὶ ἀνθρώπων προηγορεὼν πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ ἀπὸ τοῦ ἀθροίζειν ἐκεῖ τὴν τροφήν. ἢ φάρυγγας ὀρνέων.

π 2413 Προηγορεών: ὁ λεγόμενος γαργαρεών, ὁ λαιμός. προηγορεὼν δὲ κυρίως ὁ ἐχῖνος τῶν ὀρνίθων, ὅπου προαγείρεται ἡ τροφή.

π 2414 Προηγόρει: προηγόρευε, προέλεγε. Ξενοφῶν· ἧκον πρέσβεις ἐκ Σινώπης διὰ τοὺς Κοτυωρίτας εἰς τοὺς Ἕλληνας. προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος εἶναι λέγειν.

π 2415 Προηγοῦμαι· αἰτιατικῇ. τῇ τιμῇ ἀλλήλους προηγούμενοι.

π 2416 Προῄει. προήρχετο.

π 2417 Προήκατο: προέδωκε. καὶ Προήκουσιν, ἀντὶ τοῦ αὐξηθεῖσι, προελθοῦσιν. Αἰλιανός· καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλούτου προήκουσιν. ἀντὶ τοῦ πλουσίοις οὖσι. καὶ Προήκων, προελθών.

π 2418 Προήκτης: ὁ πένης, μεταίτης, οἰκουρὸς οἱ αὐτοί εἰσι.

π 2419 Προηρόσια: ὄνομα θυσίας.

π 2420 Προηροσίαι: αἱ πρὸ τοῦ ἀρότρου γινόμεναι θυσίαι περὶ τῶν μελλόντων ἔσεσθαι καρπῶν, ὥστε τελεσφορεῖσθαι· ἐγίνετο δὲ ὑπὸ Ἀθηναίων ὑπὲρ πάντων Ἑλλήνων ες′ Ὀλυμπιάδι. Λυκοῦργός φησιν ἐν τῷ κατὰ Μενεσαίχμου· καὶ γὰρ νῦν πολλὰς καὶ μεγάλας ὑμῖν τιμὰς ὀφείλω καὶ ζηλῶ παρὰ πᾶσιν Ἕλλησι μαντευομένοις τὸν Δία προηροσίαν ποιήσασθαι.

π 2421 Πρόησθε: προπέμψητε.

π 2422 Προήσομαι: προδώσω, προπέμψω.

π 2423 Προήχθην: προετράπην, ὡς καὶ ἐξήχθην καὶ ἐξετράπην.

π 2424 Προΐαψε: προέπεμψε.

π 2425 Προϊαίτατος.

π 2426 Προϊέμενος: προδιδούς. καὶ Προΐενται, ἀντὶ τοῦ ἀπορριπτοῦσι, μεταδιδοῦσιν. ὅσα ὁ στρατιώτης ὅμιλος ἐν ταῖς πορείαις προΐενται.

π 2427 Προϊέναι: ῥίψαι, ἀπολέσαι. ἄνδρα τῶν αὑτοῦ τι οὐ χρὴ προϊέναι. οὐδὲ γὰρ χειρίσασθαι ἔφη ἢ δανεῖσαι, ἀλλὰ προϊέναι, ἀσχάλλων ὁ δανειστὴς ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδάνεισε χρήματα. φησὶν οὖν, ὅτι οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα.

π 2428 Προΐεσθαι: προδιδόναι. ὁ δὲ βασιλεὺς οὔτε προΐεσθαι ἠξίου τὰ παρὰ τῶν πόλεων δῶρα.

π 2429 Προΐει: ἀντὶ τοῦ προέπεμπε.

π 2430 Πρόϊζα· ζήτει ἐν τῷ πρω μεγάλῳ.

π 2431 Προΐζω: τὸ καταγινώσκω.

π 2432 Προΐκτης: ὁ ἐπαίτης. προΐκτας καὶ γόητας καὶ βωμολόχους ἀποκαλοῦσι.

π 2433 Προΐσταμαι· γενικῇ.

π 2434 Προΐστορες: οἱ μαρτυροῦντες.

π 2435 Προΐσχεται: προβάλλεται.

π 2436 Προϊσχομένου: προειπόντος.

π 2437 Προθανόντα: ἡ προ ἀντὶ τῆς ὑπερ. Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα.

π 2438 Προθέλυμνα: συνεχῆ, ἄλλα ἐπ’ ἄλλοις. παρὰ τὸ τέλος τέλυμνος, καὶ θέλυμνος. ὁ πρόρριζος.

π 2439 Προθελύμνους: ἄλλας ἐπ’ ἄλλαις.

π 2440 Προθέλυμνοι: τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρη, ἀπὸ τοῦ θηλυμανεῖν.

π 2441 Προθέματα: προγραφάς. καὶ ἔθηκεν ὁ Οὐαλεντινιανὸς ὁ βασιλεὺς προθέματα, ἵνα, εἴ τις τι ἠδίκηται παρὰ Σαλουστίου τοῦ ἐπάρχου, προσέλθῃ τῷ βασιλεῖ. οὗτος ὁ βασιλεὺς καὶ τὸν πραιπόσιτον ἔκαυσε Χρυσάφιον.

π 2442 Πρόθεσις: προαίρεσις. ἀλλ’ οὐδὲ ἐλύπησέ τινα κατὰ πρόθεσιν, οὐδὲ προσποιηθείς, οὐδὲ πολυπραγμονήσας ἁπλῶς οὐδὲν περὶ τῶν προγεγονότων.

π 2443 Πρόθεσις: βουλή, γνώμη. Πολύβιος· ἦν δὲ τοῖς Ῥωμαίοις πρόθεσις ναυμαχῆσαι. σημαίνει δὲ καί.

π 2444 Προθεσμία: ἀπὸ τοῦ προθεῖναι τὴν ἡμέραν, ἐν ᾗ τόδε γενέσθαι δεῖ, οὐκ ἀπὸ τοῦ προθεσπίζειν, ἐὰν ἡμεῖς προτιθῶμεν προθεσμίαν τινά· εἰ δὲ ὁ θεὸς ὁ προτιθείς, ἀπὸ τοῦ προθεσπίζειν εἴρηται τὸ ὄνομα· προθεσπίζοντος τοῦ θεοῦ καὶ προστάττοντος καὶ προνομοθετοῦντος περὶ τῆς ἡμέρας, ἐν ᾗ τυχὸν τόνδε δεῖ τῆς ζωῆς ταύτης ὑπεξελθεῖν ἢ τόνδε καταλυθῆναι τὸν σύμπαντα κόσμον. καὶ θεσπίζειν μὲν ἐπὶ θεοῦ κυρίως, καταχρηστικῶς δὲ καὶ ἐπὶ βασιλέως.

π 2445 Προθεσμίας νόμος· Δημοσθένης ὑπὲρ Φορμίωνος τὴν τῶν ε′ ἐτῶν ἂν λέγοι προθεσμίαν.

π 2446 Προθεῖναι: προεργάσασθαι. διὰ τὸ προθεῖναι καὶ ἄλλους τὴν ἑρμηνείαν τῶν Ψαλμῶν.

π 2447 Προθοήνωρ: ὄνομα κύριον. καὶ συστέλλει.

π 2448 Προθύματα: αἱ ὄλυραι. παρὰ τὸ προθύεσθαι τῶν ἱερείων, ἢ αἱ κριθαί, ἢ ὁ λιβανωτός.

π 2449 Πρόθυμος: ἐπιθυμῶν, ὀρεγόμενος. παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ’ ἀεί.

π 2450 Προθυμοῦμαι· αἰτιατικῇ.

π 2451 Προθύομαι· γενικῇ.

π 2452 Πρόκα: εὐθύς, παραχρῆμα. Ἡρόδοτος· καὶ πρόκα τε φρίκης αὐτὸν ἐπελθούσης ὀπίσω τὴν αὐτὴν ὁδὸν ἴεσθαι.

π 2453 Προκαθέζομαι· γενικῇ.

π 2454 Προκαθείς: προπέμψας. προκαθεὶς δέ τινας τῶν στρατιωτῶν ἐς ἐλπίδας τῶν σπονδῶν ὑπηγάγετο.

π 2455 Προκάθημαι· γενικῇ.

π 2456 Προκαθήμενον: ἐξάρχοντα. Μενεκλέα τὸν προκαθήμενον τῶν τόπων. τουτέστι τὸν φυλάττοντα τοὺς τόπους.

π 2457 Προκαλεῖσθαι: οὐ τὸ εἰς ἀγῶνα καὶ μάχην, ἀλλὰ τὸ εἰς συμβάσεις καὶ συνθήκας. Θουκυδίδης. οἱ δὲ δικανικοὶ ἐπὶ πάσης προκλήσεως. Ἀρχέλαος παρεκάλει τὸν Σύλλαν διαλλαγῆναι πρὸς τὸν Μιθριδάτην· δεξαμένου δὲ τούτου τὴν πρόκλησιν, ἐγένοντο συνθῆκαι.

π 2458 Προκαλινδοῦμαι· γενικῇ.

π 2459 Προκαλίζετο: προεκαλεῖτο.

π 2460 Προκάρηνος: ἐπὶ κεφαλήν. ἐν Μύθοις· ἠχήεις ἐτάνυσσε βαλὼν προκάρηνον ἀήτης.

π 2461 Προκαταβολὴ καὶ Προσκαταβόλημα: τῶν τελῶν πιπρασκομένων, δύο προθέσεις ἐδίδοντο τοῖς ὠνουμένοις, ἐν αἷς ἐχρῆν εἰσενεχθῆναι τὸ ἀργύριον. ὅπερ οὖν μέρος χρημάτων, πρὶν ἄρξασθαι τοῦ ἔργου, εἰσφέρουσιν εἰς τὸ δημόσιον, τοῦτο προκαταβολὴ καλεῖται, τὸ δὲ τῇ δευτέρᾳ προθεσμίᾳ διδόμενον προσκατάβλημα.

π 2462 Προκατεύχομαί σου.

π 2463 Πρόκενσον.

π 2464 Προκέφαλος· προκέφαλος ἦν ὁ Φιλοκλῆς, ὡς ἔποψ. ἦν δὲ κωμῳδίας ποιητής. εἴρηται ἐπὶ τῶν ὀξυκεφάλων.

π 2465 Προκεχωρηκότος: προεληλυθότος. Θουκυδίδης.

π 2466 Προκείμενον: τὸ ἐνεστηκός. ὁ δὲ τοιούτοις χρώμενος λογισμοῖς μένειν ἠξίου τὸν Τιβέριον ἐπὶ τῶν προκειμένων. καὶ αὖθις· ἐμοὶ δὲ τὸ προκείμενον ἤνυστο.

π 2467 Προκινδυνεύω· γενικῇ.

π 2468 Προκληδί.

π 2469 Πρόκλησις: εἰώθεσαν, ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς βάσανον ἢ εἰς μαρτυρίαν τοῦ πράγματος· καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι. τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον ὠνομάζετο πρόκλησις.

π 2470 Πρόκλος, Μαλλώτης ἐκ Κιλικίας, φιλόσοφος Στωϊκός. ἔγραψεν ὑπόμνημα τῶν Διογένους σοφισμάτων, καὶ Πρὸς Ἐπίκουρον.

π 2471 Πρόκλος, δεύτερος Μαλλώτης, φιλόσοφος καὶ αὐτὸς Στωϊκός.

π 2472 Πρόκλος, ὁ Προκλήϊος χρηματίσας, Θεμεσίωνος, Λαοδικείας τῆς Συρίας, ἱεροφάντης. ἔγραψε Θεολογίαν, Εἰς τὸν παρ' Ἡσιόδῳ τῆς Πανδώρας μῦθον, Εἰς τὰ χρυσᾶ ἔπη, Εἰς τὴν Νικομάχου Εἰσαγωγὴν τὴν ἀριθμητικήν· καὶ ἄλλα τινὰ γεωμετρικά.

π 2473 Πρόκλος, ὁ Λύκιος, μαθητὴς Συριανοῦ, ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου φιλοσόφου, καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς, καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης. ἔγραψε πάνυ πολλά, φιλόσοφά τε καὶ γραμματικά. ὑπόμνημα εἰς ὅλον τὸν Ὅμηρον, ὑπόμνημα εἰς τὰ

Ἡσιόδου Ἔργα καὶ Ἡμέρας, Περὶ χρηστομαθείας βιβλία γʹ, Περὶ ἀγωγῆς βʹ, Εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δʹ, Εἰς τὴν Ὀρφέως Θεολογίαν, Συμφωνίαν Ὀρφέως, Πυθαγόρου, Πλάτωνος περὶ τὰ Λόγια βιβλία ιʹ, Περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, Ἐπιχειρήματα κατὰ Χριστιανῶν ιηʹ. οὗτός ἐστι Πρόκλος, ὁ δεύτερος μετὰ Πορφύριον κατὰ Χριστιανῶν τὴν μιαρὰν καὶ ἐφύβριστον αὐτοῦ γλῶσσαν κινήσας· εἰς ὃν ἔγραψεν Ἰωάννης, ὁ ἐπικληθεὶς Φιλόπονος, πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν ιʹ καὶ ηʹ ἐπιχειρημάτων αὐτοῦ καὶ δείξας αὐτὸν κἀν τοῖς Ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον. ἔγραψε Πρόκλος Μητρῳακὴν βίβλον, ἣν εἴ τις μετὰ χεῖρας λάβοι, ὄψεται, ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν θεολογίαν τὴν περὶ τὴν θεὸν ἐξέφηνεν ἅπασαν, ὥστε μηκέτι θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων.

π 2474 Πρόκλος, τοῦ βασιλέως Ἰουστίνου κοιαίστωρ, ἀνὴρ δίκαιος καὶ χρημάτων διαφανῶς ἀδωρότατος· διὸ δὴ οὔτε νόμον τινὰ εὐπετῶς ἔγραφεν, οὐδέ τι τῶν καθεστώτων κινεῖν ἤθελε.

π 2475 Πρόκνη: ὄνομα κύριον.

π 2476 Προκόλπιον: πρὸ τοῦ κόλπου. λαμβάνεται δὲ καὶ ἐπὶ δωροδόκων.

π 2477 Προκόμιον: κόμην.

π 2478 Προκόννησος: ὄνομα νήσου.

π 2479 Προκόπιος, Ἰλλούστριος, Καισαρεὺς ἐκ Παλαιστίνης, ῥήτωρ καὶ σοφιστής. ἔγραψεν Ἱστορίαν Ῥωμαϊκήν, ἤγουν τοὺς πολέμους Βελισαρίου πατρικίου, τὰ κατὰ Ῥώμην καὶ Λιβύην πραχθέντα. γέγονεν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ βασιλέως, ὑπογραφεὺς χρηματίσας Βελισαρίου καὶ ἀκόλουθος κατὰ πάντας τοὺς συμβάντας πολέμους τε καὶ πράξεις τὰς ὑπ' αὐτοῦ συγγραφείσας. ἔγραψε καὶ ἕτερον βιβλίον, τὰ καλούμενα Ἀνέκδοτα, τῶν αὐτῶν πράξεων· ὡς εἶναι ἀμφότερα βιβλία θʹ. ὅτι τὸ βιβλίον Προκοπίου τὸ καλούμενον Ἀνέκδοτα ψόγους καὶ κωμῳδίαν Ἰουστινιανοῦ βασιλέως περιέχει καὶ τῆς αὐτοῦ γυναικὸς Θεοδώρας, ἀλλὰ μὴν καὶ αὐτοῦ Βελισαρίου καὶ τῆς γαμετῆς αὐτοῦ.

π 2480 Προκόπιος· ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου ἐν τῇ Χελώνῃ ἵστατο εὐνούχου τινὸς στήλη, ἧς ἐν τῷ στήθει ἔγραφεν· ὁ μετατιθεὶς θεμάτια τῷ βρόχῳ παραδοθήτω. ἦν δὲ ἡ στήλη Πλάτωνος κουβικουλαρίου, ὃς ἐν ταῖς ἡμέραις τοῦ Βασιλίσκου πυρίκαυστος γέγονε. τῶν δὲ γονέων αὐτοῦ αἰτησάντων τῷ βασιλεῖ εἰς μνημόσυνον τοῖς ἀνταίρουσι βασιλεῖ στηλωθῆναι τὸν εὐνοῦχον Πλάτωνα, οὐκ ἐκώλυσεν. ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τοῦ μεγαλομάρτυρος νεὼν μετετέθη εἰς τὸ Ἱπποδρόμιον. οἱ δὲ οἶκοι τοῦ εὐνούχου σῴζονται ἐν τῇ Χελώνῃ.

π 2481 Προκόπτοντα: διερχόμενον. ὀχήματι κεχρημένον καὶ διὰ τῆς λεωφόρου προκόπτοντα καταλαμβάνειν τὸ ἕβδομον.

π 2482 Προκώνια· Λυκοῦργος κατὰ Μενεσαίχμου. Δίδυμος δέ, προκώνια, φησί, πυροὶ μέλιτι κεχρημένοι· Ἀριστοφάνης δέ, ὁ γραμματικὸς καὶ Κράτης τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτως φασὶν ὀνομάζεσθαι. ἔοικε δὲ καὶ ἐκ πυρῶν καὶ ἐκ κριθῶν γίνεσθαι. Δήμων δὲ φησὶν ἐν τῷ περὶ θυσιῶν· καὶ προκώνια ἐστὶ κάχροις κατηριγμένα μετὰ ἀρωμάτων.

π 2483 Πρόκωπον· ὁ δὲ ὀργισθεὶς κατὰ τοῦ βασιλέως πρόκωπον ἔχων τὸ ξίφος. ἀντὶ τοῦ γυμνόν. καὶ αὖθις· ἀλλὰ γεννικὸν ὁρῶν εἶχε πρόκωπον τὸ ξίφος.

π 2484 Πρόκριδος ἄκοντα: ἐπὶ τῶν πάντων τυγχανόντων· τοιοῦτον γὰρ ἔχουσα ἡ Πρόκρις πάντα ἐθήρα.

π 2485 Πρόκριμα: ἡ προτίμησις. ὁ δὲ Μακεδόνιος οὐδὲ τῶν ἑτέρων μνήμην ἐποίησε, λογισάμενος μηδαμῶς πρόκριμα γίνεσθαι τῇ ἐν Χαλκηδόνι συνόδῳ, ὡς καὶ τῆς ἐν Ἐφέσῳ σὺν αὐτῇ παρασιωπηθείσης.

π 2486 Πρόκριμα· ὡς μὴ πρόκριμα εἴη κατ’ αὐτοῦ, καὶ αἰσχύνην ἐκώλυσαν γενέσθαι.

π 2487 Πρόκριναι.

π 2488 Πρόκρις: ὄνομα κύριον, θηλυκοῦ γένους.

π 2489 Πρόκριτον: ἐκλεκτόν, ἢ πονηρόν.

π 2490 Πρόκροσσαι: ἄλλη ἐπ’ ἄλλῃ. Ἡρόδοτος· αἱ δὲ νῆες πρόκροσσαι ὡρμαίνοντο ἐς πόντον, ἐπὶ ν′ νέας.

π 2491 Πρόκοιτος καὶ Προκοιτία: ἡ προφυλακή. καὶ προφύλαξ. ἢ Πρόκοιτος, ὁ ἔμπροσθεν κοιμώμενός τινος.

π 2492 Προκυλινδεῖσθαι: τὸ ἐπὶ γόνυ πεσόντα προσκυνεῖν τῷ βασιλεῖ. ἴδιον γὰρ τοῦ βασιλέως τὸ γονυπετεῖσθαι ἐξ ἀνθρώπων. καὶ προκυλινδεῖσθαι ἰκτίνοις· ἔαρος ἴκτινοι φαίνονται, ἐφ’ ᾧ ἡδόμενοι ἐκυλινδοῦντο, ὡς ἐπὶ γόνυ πίπτοντες.

π 2493 Προλάλος: ὁ προαλὴς ἐν τῷ λέγειν. καὶ τοῦτον κατεσίγασαν τηνάλλως προλάλον τε καὶ ἰταμὸν ὄντα.

π 2494 Πρόληψις: γνῶσις. καὶ αὖθις· ἀχανεῖς ἔμειναν τῷ πρόληψιν ἐσχηκέναι τοῦ μέλλοντος λέγεσθαι.

π 2495 Περὶ προλήψεως· διαφορά ἐστιν ἀληθείας καὶ συνηθείας· ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη πάντως εὑρίσκεται. τὸ δὲ ἔθος, ὁποῖον ἂν παραληφθείη, εἴτε ἀληθὲς εἴθε ψευδές, ἀκρίτως ὑφ’ ἑαυτοῦ κρατύνεται· καὶ οὔτε ἀληθεῖ ὄντι αὐτῷ ἥδεται ὁ παραλαβὼν οὔτε ψευδεῖ ἄχθεται. οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκε, γνώμῃ τῶν πρὸ αὐτοῦ ἐπ’ ἀδήλῳ τύχῃ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. καὶ οὐκ ἔστι ῥᾳδίως ἀποδύσασθαι τὴν πάτριον περιβολὴν, κἂν πάνυ αὐτῷ δείκνυται λυπρὰ καὶ καταγέλαστος οὖσα. ὁ δὲ Χρύσιππος ἐν τῷ ιβ′ φυσικῷ λόγῳ δύο φησὶν εἶναι κριτήρια, αἴσθησιν, γνῶσιν καὶ πρόληψιν. ἔστι δὲ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου. Ἐπίκουρος δὲ ὁ φιλόσοφος πρόληψιν λέγει, οἱονεὶ κατάληψιν ἢ δόξαν ὀρθὴν ἢ ἔννοιαν ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τουτέστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος. οἷον τὸ τοιοῦτόν ἐστιν ἄνθρωπος· ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος, εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται, προηγουμένων τῶν αἰσθήσεων. παντὶ οὖν ὀνόματι τὸ πρώτως ἐπιτετευγμένον ἐναργές ἐστι· καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητούμενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό. οἷον τὸ πόρρω ἑστώς, βοῦς ἐστιν ἢ ἵππος; δεῖ γὰρ κατὰ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. οὐδ’ ἂν οὖν ὠνομάσαμέν τι, μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. Ἐναργεῖς οὖν εἰσὶν αἱ προλήψεις· καὶ τὸ δοξαστὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς ἤρτηται· ἐφ’ ὃ ἀναφέροντες λέγομεν, οἷον πόθεν ἴσμεν εἰ τοῦτό ἐστιν ἄνθρωπος. τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσι.

π 2496 Πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν τῷ πολέμῳ θάνατον ᾑροῦντο οἱ Ἰουδαῖοι.

π 2497 Πρόλοβος: ἐπὶ τῶν πτητικῶν ὀρνέων λέγεται πρόλοβος ὁ μετὰ τὸν στόμαχον κόλπος νευρώδης, ὅμοιος σκύτει, εἰς ὃν ἡ τροφὴ ἀκατέργαστος μένει· ὃ καὶ τοῖς ἀλεκτρυόσι πᾶσιν ἔνεστιν· ὃ καὶ ὑπ’ ἐνίων καλεῖται φῦσα.

π 2498 Προλογίζω: πρότερον λέγω. Προλοχίζω δὲ τὸ ἐνεδρεύω.

π 2499 Προμάχιζε: πρωταγωνιστὴς ἦν.

π 2500 Προμάχομαι· γενικῇ.

π 2501 Προμαχῶνος: τοῦ τείχους, τῆς ἐπάλξεως.

π 2502 Προμέρου κύνες: τοῦτον φασὶ βασιλικὸν δοῦλον ὄντα μισῆσαι Εὐριπίδην καθ’ ὑπερβολήν, ὥστε καὶ κύνας ἀγρίους ἐπαφεῖναι αὐτῷ, οἵτινες αὐτὸν κατεθοινήσαντο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2503 Προμετωπίδιον: τὸ ἔμπροσθεν.

π 2504 Προμετρητής· ὁ τοὺς πιπρασκομένους πυροὺς ἐν τῇ ἀγορᾷ καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν, καὶ ὁ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων προμετρητὴς ἐκαλεῖτο. Δείναρχος· ὁ Σκύθου τοῦ προμετρητοῦ υἱὸς ἐν δημόταις γέγονε, καὶ ὁ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε, καὶ ὑμεῖς ἐκλαβόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.

π 2505 Προμηθεύομαι: τὸ προνοοῦμαι· γενικῇ.

π 2506 Προμηθεύς· ὅτι ἐπὶ τῶν Κριτῶν τῶν Ἰουδαίων παρ' Ἕλλησιν ἐγνωρίζετο Προμηθεύς, ὃς εὗρε πρῶτος τὴν γραμματικὴν φιλοσοφίαν. περὶ οὗ λέγουσιν, ὅτι ἀνθρώπους ἔπλασε, καθὸ τινας ἰδιώτας ὄντας ἐποίησεν ἐπιγινώσκειν σοφίαν. καὶ Ἐπιμηθεύς, ὃς ἐξεῦρε τὴν μουσικήν· καὶ Ἄτλας, ὃς τὴν ἀστρονομίαν ἡρμήνευσε· διὸ λέγουσιν, ὅτι τὸν οὐρανὸν βαστάζει. καὶ ὁ πολυόμματος Ἄργος, διὸ περίβλεπτος ἦν, καθότι τὴν τεχνικὴν ἐπιστήμην αὐτὸς ἐπενόησε πρῶτος. ἦν δὲ τότε καὶ μάντις Σιβύλλα. βασιλεύοντος παρ' Αἰγυπτίοις Φαραὼ τοῦ καὶ Παραχώ, παρ' Ἕλλησιν ἐν Ἀθήναις ἐβασίλευε Κέκροψ, ὃς ἐκλήθη Διφυὴς διὰ τὸ τοῦ σώματος μέγεθος, ἢ ὅτι νόμον ἐξέθετο, ὥστε τὰς γυναῖκας παρθένους ἔτι οὔσας ἑνὶ ἐκδίδοσθαι ἀνδρί, καλέσας αὐτὰς νύμφας· πρότερον γὰρ αἱ τῆς χώρας ἐκείνης γυναῖκες θηριώδη μίξιν ἐμίγνυντο· οὐδενὸς γὰρ ἦν γυνή, ἀλλὰ ἐδίδου ἑαυτὴν εἰς πορνείαν ἑκάστῳ. οὐδεὶς οὖν ᾔδει, τίνος ἦν υἱὸς ἢ θυγάτηρ, ἀλλ' ὡς ἂν ἔδοξε τῇ μητρί, ἔλεγε καὶ ἐδίδου τὸ τεχθὲν ᾧ ἐβούλετο ἀνδρί. τοῦτο δὲ ἐποίησεν ὁ Κέκροψ, ὡς ἐξ Αἰγύπτου καταγόμενος καὶ τὴν νομοθεσίαν Ἡφαίστου τοῦ βασιλεύσαντος ἐκεῖ οὐκ ἀγνοήσας. ἔλεγε γάρ, ὅτι διὰ τὴν τοιαύτην τῆς ἀσελγείας συνήθειαν κατεκλύσθη ἡ Ἀττική. ἀπὸ τότε οὖν ἐσωφρονίσθησαν οἱ κατοικοῦντες τὴν τῶν Ἑλλήνων χώραν. ἐβασίλευσε δὲ Κέκροψ ἔτη ν'. ἐλέγετο δὲ Διφυὴς καὶ διὰ τὸ ἀπὸ Αἰγύπτου γενέσθαι καὶ εἰς Ἑλλάδα ἐλθεῖν καὶ βασιλεῦσαι.

π 2507 Προμηθεύσασθαι: προνοήσασθαι.

π 2508 Προμήθεια: πρόνοια.

π 2509 Προμηθεῖσθαι: προβουλεύεσθαι, προνοεῖσθαι.

π 2510 Πρὸ μικροῦ.

π 2511 Προμνηστῖνοι: κατὰ τάξιν, ἐφεξῆς.

π 2512 Προμνήστρια: ἡ προνοήσασα γάμον, ἣν νῦν προξενήτριαν φασί.

π 2513 Προμνῶμαι: προξενῶ, προμνηστεύομαι.

π 2514 Πρόμολε: πρόελθε.

π 2515 Προμολῇσιν: ἀκρωρείαις, ἐξοχαῖς. Ὀρφέα Θρηϊκίῃσι παρὰ προμολῇσιν Ὀλύμπου τύμβος ἔχει.

π 2516 Πρόμος: πρόμαχος.

π 2517 Προμώτης: προκόπτων παρὰ Ῥωμαίοις.

π 2518 Προμοίροις: πρὸ τῆς μοίρας, ἀώροις. προμοίροις δὲ θανάτοις ἐφθείρετο ἡ νεολαία.

π 2519 Προμυλαία: θεὸς προμύλιος, ἣν ἀφιδρύοντο ἐν τοῖς μυλῶσιν, ὡς Εὔνοστον.

π 2520 Προνκομισάριος: ὁ ἐκ συναινέσεως δύο μερῶν μεταξὺ ληφθεὶς διαιτητής.

π 2521 Προνομαία: ἡ τοῦ ἐλέφαντος προβοσκίς.

π 2522 Προνομεύω: τὸ ληΐζω, καὶ αἰχμαλωτίζω.

π 2523 Προνομεία· ἡ σκύλευσις. Προνομίας δὲ τιμῆς πλείονος.

π 2524 Προνομή: διαρπαγή.

π 2525 Προνόμιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2526 Προνομίων: προλημμάτων. προπετῶς σαυτῷ τὰ προνόμια τῶν ἀλλοτρίων ἐπαρχιῶν διεκδικῶν.

π 2527 Πρόνομος: ὄνομα κύριον. αὐλητής, ὃς μέγαν πώγωνα εἶχεν. ἔνθεν καὶ τό, Ἀγύρριος Προνόμου πώγων’ ἔχων ἐλάνθανε.

π 2528 Προνόμων: δικαιωμάτων, θεσμῶν. τί δέ μοι φύσεως μέλει καὶ προνόμων;

π 2529 Προνοούμαι· γενικῇ. ἔστι καὶ Προνοῶν καὶ Προνοούμενος.

π 2530 Προνούστερος: προμηθέστερος, προνοητικώτερος. Σοφοκλῆς. Ἀθηνᾶ· ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση; τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος, ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια; τουτέστι τοῦ Αἴαντος.

π 2531 Προνώπιον: προεκκείμενον.

π 2532 Ἀριστοφάνης Πλούτῳ· Προντούλων· οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρα, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον προντούλων. ὡς ἂν λέγων, μηκέτι πατῆσαι ἐκεῖ με.

π 2533 Πρόνοια: πρόγνωσις. Σοφοκλῆς· πείθου. προνοίας δ’ οὐδὲν ἔφυ βροτοῖς κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.

π 2534 Πρόνοια· ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Πρόνοια, διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρύσθαι. ταύτην δὲ Ἡρόδοτος ἐν τῇ η′ Προνηΐην ὀνομάζει.

π 2535 Πρόνοια Ἀθηνᾶ: οἱ μὲν διὰ τὸ πρὸ τοῦ ναοῦ τοῦ ἐν Δελφοῖς ἑστάναι αὐτήν, οἱ δὲ ὅτι προὐνόησεν, ὅπως τέκῃ ἡ Λητώ. ὅτι ἡ τοῦ θεοῦ πρόνοια κατὰ τρεῖς τρόπους γίνεται· κατ’ οἰκονομίαν, κατ’ εὐδοκίαν, κατὰ συγχώρησιν.

π 2536 Πρόξ: ἐλάφου γέννημα.

π 2537 Προξένει: λέγε. ὦ φίλταθ’, ὡς νῦν πᾶν τελοῦντι προξένει. ἢ ὅτι, ὡς φῄς, προξένει μοι καὶ πάρεχε τὰ χρήσιμα.

π 2538 Προξενία: ἡ τῶν ξένων ὑποδοχή. καὶ αὐτῷ προξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι.

π 2539 Πρόξενος: ὁ νέηλυς πόλεως ξένης. ὁ δὲ Εὐθυκράτη ἀτιμωθέντα παρὰ Ἀθηναίοις ἐψηφίσατο ἐπίτιμον εἶναι καὶ πρόξενον Ἀθηναίων.

π 2540 Πρόξενος: ὁ προστάτης. καὶ σὺ ξυνέξευρ’ αὐτόν, ὡς ἂν τὴν χάριν αὐτήν τε κἀκείνην ἔχῃς, ὦ πρόξενε. καὶ Πρόξενοι, οἱ προστάται τῶν πόλεων καὶ φροντισταὶ καὶ ξενίαις ὑποδεχόμενοι. Προξένους ἐκάλουν τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας.

π 2541 Προξενῶ θ’ ὑμᾶς ἀεί: ἀντὶ τοῦ προΐσταμαι. Ἀριστοφάνης.

π 2542 Προξενῶ: ἀντὶ τοῦ ἐπιτάττω· γενικῇ.

π 2543 Προοδοποιῶ· γενικῇ.

π 2544 Πρόοπτος: προφανής, πρόδηλος. Ἡρόδοτος· ἡμέας οὗτοι οἱ ἄνθρωποι προόπτως θανάτῳ μέλλουσι προδώσειν.

π 2545 Προορῶ· αἰτιατικῇ.

π 2546 Προώλης: ὁ πανώλης.

π 2547 Πρόωμαι: παραχωρήσω.

π 2548 Πρόωνες: οἱ προνενευκότες τόποι τῶν ὀρῶν.

π 2549 Πρόωνται: αὐθυπότακτον. προδώσουσιν, ἀμελήσουσιν. ὁ δὲ τοὺς περιχώρους παρεκάλει, λέγων ὅτι ἐὰν αὐτὸν πρόωνται, καὶ αὐτοὶ κινδυνεύσουσι.

π 2550 Πρόωρος: πρὸ τῆς ὥρας.

π 2551 Πρόωσις: ὤθησις.

π 2552 Προπαρεγγυηθέν: προπαραγγελθέν. προπαρεγγυηθέν οἱ τοῦτο ἐκ βασιλέως.

π 2553 Προπάροιθεν: ἔμπροσθεν.

π 2554 Πρόπας στόλος: πᾶσα ἡ δύναμις. νοσεῖ δέ μοι πρόπας στόλος.

π 2555 Προπαιδεύματα· ὁ δὲ Ὠριγένης οὐκ ἐπαύετο παραδιδοὺς γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἆλλα προπαιδεύματα.

π 2556 Προπαιδεία: τὰ πρῶτα μαθήματα.

π 2557 Πρόπεμπτα: Δίδυμός φησι μήποτε ἄλλα τινά εἰσιν ἐπιτίμια τὰ πρὸ τῆς καταβολῆς. εἰσὶ γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαι φασίν. εἰ μὴ ἄρα πρόπεμπτα, ὡς Δημοσθένης, πρὸς ἡμέρας ε′· ταῖς γὰρ μεγάλαις δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν.

π 2558 Προπεπωκότες: ἀντὶ τοῦ προδεδωκότες. ἐκ μεταφορᾶς δὲ λέγεται. προπεπωκέναι δὲ παρὰ τὴν συνουσίαν πολλὰ μὲν ἀργυρώματα τὸν προειρημένον, πολλὰ δὲ χρυσώματα τῷ Προυσίᾳ.

π 2559 Προπέρυσι καὶ Πέρυσι.

π 2560 Προπέτεια: ἡ ἀχαλίνωτος γλῶσσα.

π 2561 Προπετής: εἰς τοὔμπροσθεν νενευκώς. προπετὴς τῷ βάρει γενόμενος πίπτει. Προπετὴς δὲ καὶ ὁ πρόγλωσσος.

π 2562 Προπηλακίζων: ἀδικῶν, ὑβρίζων, διασύρων, ἐξουθενῶν. καὶ Προπηλακισμός, ὕβρις. εἴρηται δὲ ἀπὸ τοῦ πηλὸν ἐπιχρίεσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀσβόλῳ χρίουσι.

π 2563 Προπίνει: διὰ τοῦ οἴνου τιμᾷ καὶ προδίδωσι. καὶ Δημοσθένης δὲ τοὺς προδόντας τὰς πατρίδας τοῖς ἐχθροῖς προπίνειν ἔφη τοῖς ἐχθροῖς. καὶ Ἀριστοφάνης· φέρ’ ἴδω, τί μέντοι πρῶτον ἦν; ἐπίνομεν. τί δὲ μετὰ τοῦτο δεύτερον; προὐπίνομεν. ἀντὶ τοῦ ἀλλήλους δεξιούμεθα. καὶ αὖθις· ταῖς θυγατράσι φάρμακον ὤρεξε καὶ αὐτὸς ἔπιε, δυστυχοῦς κοινωνήσας προπόσεως καὶ φιλοτησίας.

π 2564 Προπίνειν: οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί, ἀπέπινον δὲ μικρὸν τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς, καὶ τότε παρεῖχον ᾧ ἂν ἐβούλοντο καὶ τὴν κύλικα· καὶ ἐκαλεῖτο προπίνειν. ἡ δὲ ἡμέρα φιλοτησία.

π 2565 Πρόπιον: μάντευμα. καὶ Θεοπρόπιον, τὸ τῶν θεῶν μάντευμα.

π 2566 Πρόποδες: μεγάλους πόδας ἔχοντες.

π 2567 Πρὸ ποδῶν: τὸ παρατυχὸν οἱονδήποτε.

π 2568 Πρὸ ποδῶν: ἔμπροσθεν τῶν ποδῶν.

π 2569 Προπολεμῶ· γενικῇ.

π 2570 Προπόλεος. τὸν προπόλεον κόσμον τοῦ ἄστεος ἀποκείραντες.

π 2571 Πρόπολος: δούλη, προπολεύουσα. ἢ θεράπων. καὶ θεράπαινα, πρόσφυξ. Ἀριστοφάνης Νεφέλαις· ἀλλὰ σαυτὸν θαρρῶν παράδος τοῖς ἡμετέροις προπόλοισι. παρὰ δὲ Ἡροδότῳ Πρόπολος, ὁ νεωκόρος.

π 2572 Πρὸ πολλοῦ.

π 2573 Προπόλῳ: θεράποντι.

π 2574 Προπόλων: θείων ἑρμηνέων.

π 2575 Πρόπολοί τε καὶ θεραπευταί. μέλλων Εὐρυμέδων πότ’ Ἀριστοτέλη γράψασθαι, Δηοῦς μύστιδος ὢν πρόπολος.

π 2576 Πρόπομα: ἐκ τοῦ προπίνω.

π 2577 Προπομπία: ἐν συνθέσει διὰ τοῦ ι· Πομπεία δὲ ἁπλοῦν, διὰ διφθόγγου.

π 2578 Προποντίς.

π 2579 Προπύλαια ταῦτα· Δημοσθένης Φιλιππικοῖς. δύναται μὲν δεικτικῶς λέγεσθαι, ἅτε ὁρωμένων τῶν προπυλαίων ἀπὸ τῆς Πνυκός. βέλτιον δὲ ἀναφορικῶς ἀκούειν· ἐπὶ γὰρ τῶν πάνυ γνωρίμων οὕτω λέγειν εἰώθασιν. ἐν γοῦν τῷ κατ' Αἰσχίνου αὐτὸς Δημοσθένης φησίν· ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν ὑποκριτήν. Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεώς φησιν· ἐν ἔτεσι μὲν γὰρ πέντε παντελῶς ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη ͵βιβʹ, πέντε δὲ πύλας ἐποίησαν, δι' ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασι.

π 2580 Πρόρριζον: ἐκ ῥιζῶν. καὶ Πρόρριζος, ἀντὶ τοῦ παντάπασι. Σοφοκλῆς· Μυρτίλος πρόρριζος ἐκριφείς. Πρὸ ῥιζῶν δὲ ἐξ αὐτῆς τῆς ῥίζης.

π 2581 Πρός· εἰς μῆκος δὲ ὅσον πόδας ξʹ καὶ πρός. ἀντὶ τοῦ πλεῖον, περισσότερον. καὶ ὁ Θεολόγος· καὶ μικρόν τι πρός.

π 2582 Προσαγγελία. Πολύβιος· ἧκον ὑπὸ νύκτα πρὸς τὸν Φίλιππον, φάσκοντες συνωρμηκέναι τινὰς αὐτοῖς· τούτους δ' ἀπαγγέλλειν, ὅτι καταλείποιεν ἐν Ῥηγίῳ πεντήρεις Ῥωμαϊκάς. ὁ δὲ διαταραχθεὶς ἐκ τῆς προσαγγελίας ἔφυγε. καὶ αὖθις· τῷ δὲ Πτολεμαίῳ γενομένης προσαγγελίας, παρεῖναι τὸν Ἀρχίαν.

π 2583 Προσαγγέλλει· ὁ δὲ ἑαυτὸν προσαγγέλλει (ἀντὶ τοῦ μηνύει) ἑαυτὸν ἄξιον θανάτου.

π 2584 Προσάγειν καὶ Παράγειν διαφέρει. προσάγουσι μὲν γὰρ πάντες οἱ παραταξάμενοι ᾗ ἂν ἄριστοι εἶεν μάχεσθαι· παράγουσι δὲ οἱ σώφρονες ᾗ ἂν ἀσφαλέστατα, οὐχ ᾗ ἂν τάχιστα ἀπέλθοιεν. παριέναι ἀνάγκη δὲ ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, ἀνειργμένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπιπολύ. οὕτως φησὶ Ξενοφῶν. καὶ Προσάγειν, ἀντὶ τοῦ οἰκειοῦσθαι, ἰδιοποιεῖσθαι. ὁ δὲ ἐμήνυε διὰ τῶν πρέσβεων, ὡς προσάγοιτο μὲν τὰ ἔθνη χρήμασι καὶ δώροις, καταγγέλλοι δὲ κοινὰ τὰ κερδαλέα τὰ ἀπὸ τοῦ πολέμου.

π 2585 Προσάγομαι· δοτικῇ.

π 2586 Προσαγορεύω· αἰτιατικῇ.

π 2587 Προσαγώγιον: τὸ τῶν τεκτόνων ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.

π 2588 Προσᾴδω· δοτικῇ.

π 2589 Πρὸς ἀκτῖνα: ἀνατολήν.

π 2590 Πρὸς ἄλληλα.

π 2591 Προσαλισκόμεθα: ἀντὶ τοῦ πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα. κᾆτα προσαλισκόμεθα.

π 2592 Προσαμφιῶ: πρὸς οἷς ἔχεις ἐνδύσω.

π 2593 Προσανανεωσάμενος: ἀνακαινίσας, καὶ ἀνεγείρας. ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα ἐπεβάλετο καταπειράζειν τῆς ἐλπίδος.

π 2594 Προσαναταθείς: ὀργισθείς, ἐπαρθείς. ὁ δὲ βραχέα προσαναταθεὶς κατένευσε ποιήσειν. ἀντὶ τοῦ κατεπαρθείς.

π 2595 Προσανατεινόμενος: ἀπειλῶν. τὰ μὲν παρακαλῶν, τὰ δὲ προσανατεινόμενος.

π 2596 Προσαναφωνῶ· δοτικῇ.

π 2597

Προσανέχων: προσέχων, προσκεκολλημένος. Πολύβιος· ὁ δὲ πᾶν ὑπομένειν ἐδόκει, προσανέχων ταῖς τῶν Αἰγυπτίων ἐπαρχίαις. καὶ αὖθις· ὁ δὲ Δημήτριος προσανέχων τῇ παρουσίᾳ τοῦ διαποσταλησομένου πρὸς αὐτόν. καὶ Προσανέχοντι, ἐξέχοντι.

π 2598 Προσανίσχοντα.

π 2599 Πρόσαντες, δυσχερές, καὶ ἐναντίον. καὶ ζήτει ἐν τῷ ἄναντες.

π 2600 Προσάντης· καὶ ἡ δοτικὴ προσάντει.

π 2601 Προσάντως: ἐπίρρημα. μήτε ἀκαίρως παρακαλεῖν, μήτε προσάντως.

π 2602 Πρὸς ἀπαλέξησιν: πρὸς βοήθειαν.

π 2603 Προσάπτομαι· γενικῇ· Προσάπτω δὲ δοτικῇ.

π 2604 Προσαρασσόμενα: προσρηγνύμενα, προσκρουόμενα.

π 2605 Προσαστειασάμενος: ἀστεῖόν τι προσειπών. ὁ δὲ παρακαλέσας αὐτὸν καί τι προσαστειασάμενος τοιοῦτον, αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

π 2606 Προσαυδῶ· δοτικῇ.

π 2607 Πρὸς αὐτοῦ: ἀντὶ τοῦ ὑπὲρ αὐτοῦ. ὁ δὲ οὐ κατ' αὐτοῦ, ἀλλὰ πρὸς αὐτοῦ εἶναι νομίσας τὰ συμβαίνοντα περὶ τοὺς ἐναντίους ἐγίνετο περὶ τὸν Μάρκον, σπουδάζων τὴν τόλμαν ἀφελέσθαι καὶ προκαταλαβεῖν αὐτοῦ τὴν ὁρμήν.

π 2608 Προσβάλλει· δοτικῇ. προσέρχεται. προσέβαλε δὲ ταῖς ἀκοαῖς αὐτῶν ἦχος τις ἐμμελὴς θείων ὕμνων. δι' ἑνὸς λ δεύτερος ἀόριστος. προσέβαλλε δὲ ἀεὶ διὰ δύο λλ, παρατατικός.

π 2609 Προσβαίνω· δοτικῇ.

π 2610 Πρὸς βίαν: βιαίως, ἀναγκαστῶς. ὁ δὲ οὐκ ἐφείσατο αὐτῆς ὁ ἐραστὴς ὁ ἐναγής, ἀλλ' ἐξαγαγὼν αὐτὴν τοῦ νεὼ πρὸς βίαν διέφθειρε μάλα ἀνοίκτως.

π 2611 Προσβλέπω· δοτικῇ.

π 2612 Προσβολή: ζημία, δαίμονος ὀργή, παρὰ Ἀριστοφάνει. ἀντὶ γὰρ τοῦ εἰπεῖν ζῷον ζημίαν εἶπε, καταρώμενος αὐτῷ. χὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολή, οὐκ οἶδα. περὶ τοῦ κανθάρου.

π 2613 Προσγεγόνει: συνεμίχθη, συνηριθμήθη. ὁ δὲ τοῦ βασιλέως Ἀρμενίας παῖς προσεγεγόνει αὐτῷ ξὺν δυνάμει ἱππικῇ οὐκ ὀλίγῃ.

π 2614 Πρόσγειον: τὸ πρὸς γῆν.

π 2615 Προσγράφει: προσκρίνει.

π 2616 Προσδέδεμαι· δοτικῇ.

π 2617 Προσδέξασθαι· προσδέξασθαι δέ, τὸ δὴ λεγόμενον, εἰς τὰς πλευρὰς τοὺς πολεμίους. ἀντὶ τοῦ σύνεγγυς.

π 2618 Προσδέχω· αἰτιατικῇ καὶ Προσδεχόμενοι· αἰτιατικῇ· προσδοκῶντες.

π 2619 Προσδεῖσθαι καὶ ἐνδεῖσθαι διαφέρει· τὸ μὲν γὰρ δηλοῖ ὀλίγων τινῶν κτῆσιν, τὸ δὲ παντελῶς ἀπορίαν τοῦ ὅλου δηλοῖ.

π 2620 Προσδιαλέγομαι· δοτικῇ.

π 2621 Προσδίδωμι· αἰτιατικῇ. ὅτι διαφέρει προσδοκία ἐλπίδος· ἐλπὶς μὲν γάρ ἐστι προσδοκία ἀγαθῶν. καὶ ὁ φοβούμενος προσδοκᾷ, ἀλλ' οὐκ ἀγαθά· κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. ἐπεὶ οὖν οὐχ ὑφεστώτων πραγμάτων οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπίς, ὡς μένουσι τοῖς ἡδέσι χρῶνται.

π 2622 Πρὸς δύο οὐδ' Ἡρακλῆς: παροιμία. ζήτει ἐν τῷ οὐδὲν Ἡρακλῆς πρὸς δύο.

π 2623

Πρὸς αἵματος: τοὺς συγγενεῖς. Σοφοκλῆς· ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος;

π 2624 Προσαίτης: ὁ ἐπαίτης. Προσαῖτις δὲ θηλυκὸν διὰ τοῦ ι.

π 2625 Προσαιτῶν: πολλὰ αἰτῶν.

π 2626 Προσεδρεία· Προεδρία δέ.

π 2627 Προσεδρεύω σοι.

π 2628 Πρόσεδρος. τότ' ἐκ προσέδρου λιγνύος διάστροφον ὀφθαλμὸν ἄρας, εἶδεν ἐν πολλῷ στρατῷ.

π 2629 Προσέκειτο: ἀντὶ τοῦ προσεῖχε. Θουκυδίδης ἐν α'.

π 2630 Προσέκοψεν: ἀντὶ τοῦ προσέπταισεν. Ἄλεξις.

π 2631 Προσέκοψε τῷ ἀνθρώπῳ: ἀντὶ τοῦ ἠλλοτριώσατο. οὕτως Ποσείδιππος.

π 2632 Προσεκτικώτατα· ἐδόκει γὰρ Ῥωμαίων ἐπιμελέστατα καὶ προσεκτικώτατα κατὰ τοὺς πατρίους θεσμοὺς τελεῖν τὰς θυσίας. ἀντὶ τοῦ πολυτελῶς, νουνεχῶς.

π 2633 Προσέλευσις.

π 2634 Προσέληνοι: Ἡρόδοτος τοὺς Ἀρκάδας οὕτως λέγει, τουτέστιν ἀρχαίους, πρὸ τῆς σελήνης.

π 2635 Προσελοῦμεν: ἀντὶ τοῦ προπηλακίζομεν, ἐλαύνομεν, εἰσβάλλομεν.

π 2636 Προσέμαξε: προσπαρέθηκε, προσεκόλλησε· μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι καὶ φυρᾶν καὶ εἰς ἓν συνάγειν τὰ ἄλευρα. Ἀριστοφάνης· τὸν Πειραιᾶ προσέμαξε.

π 2637 Πρὸς ἐμοῦ εἶ: οἰκεῖός μου, ἐγγύς μου, φίλος μου, παρ' ἐμοί.

π 2638 Προσένεγκε· Προσενέγκαι δέ.

π 2639 Προσέπαισε: προσέπαιξε. Πλάτων τῷ ς ἀντὶ τοῦ ξ κέχρηται.

π 2640 Προσεπιμετρῶν: πλείω τοῦ μεμετρημένου διδούς. προσεπιμετρῶν ἀεὶ τῷ δεομένῳ, πρὸς τὸ παρὰ πάντων ὁμολογουμένως γίνεσθαι τὴν ἐπὶ τούτοις χάριν.

π 2641 Προσεπιτραγῳδήσουσι: δεινολογήσουσι. δεδιὼς μὴ πολλαπλασιάσαντες τὸ προτέρημα καὶ προσεπιτραγῳδήσαντες καταπλήξωνται τοὺς ἐν τοῖς Τυάνοις.

π 2642 Προσεποιήθη· ὁ δὲ ὠργίζετο μὲν ἀθετηθείς, οὐ μὴν προσεποιήθη κατὰ τὸ παρόν. ἀντὶ τοῦ ἐφανέρωσεν, ἐνεδείξατο. Δαμάσκιος· ᾐσθάνετο μὲν οὖν ἡμῶν ταύτῃ πη διακειμένων, οὐ μέντοι προσεποιήθη τὸν νοῦν προσέχειν. καὶ αὖθις· ὁ δὲ πολλάκις ἀκούων οὐ προσεποιεῖτο.

π 2643 Προσεποιήσαντο: Ἰσαῖος. ἀντὶ τοῦ ἀντεποιήσαντο.

π 2644 Προσεποίσω: προσεπάξω.

π 2645 Προσερήσομαι: ἐρωτήσω.

π 2646 Πρὸς ἐρρωγυῖαν ᾄδεις: ἐπὶ τοῦ μάτην πονοῦντος.

π 2647 Προσερρύη: προσεφοίτησε, προσῆλθεν, οὐ προσέρρευσεν.

π 2648 Προσέσθαι· Ἀριστοφάνης· ἀλλ' ὅτι σιγᾷ κοὐδὲν γρύζει, τοῦτ' οὐ δύναταί με προσέσθαι. ἐφελκύσασθαι. καὶ αὖθις Αἰλιανός· ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, ἑταιρικὸν φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβάλλειν ἀνδρὶ ἀγνῶτι καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσθαι. καὶ αὖθις· ὥστε μηκέτι αὐτὸν προσέσθαι εἰς ὁμιλίαν.

π 2649 Προσέσχεν: ἐξώκειλε. Σοφοκλῆς· τίς ς', ὦ τέκνον, προσέσχε; τίς προσήγαγε χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος; καὶ αὖθις· τίνι στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων; λέγεται καὶ κατέσχεν. ὁ αὐτὸς Σοφοκλῆς· ἡνίκ' ἐκ τῆς ποντίας Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.

π 2650

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Προσέσχε: κατῆρεν, ἐπλησίασεν. Αἰλιανός· εἶτα τῆς ὑστεραίας προσέσχε τῇ Χίῳ καὶ ἀποβάντες ἐντυγχάνουσι τῇ κόρῃ πιπρασκομένῃ.

π 2651 Προσεταιρισάμενος: ἑταίρους προσλαβόμενος.

π 2652 Προσέτι: ἐπίρρημα.

π 2653 Προσετρίψατο: ἐπέβαλε, κατέχεε. τῷ βίῳ τῶν ἀνθρώπων κηλῖδα προσετρίψατο.

π 2654 Προσεύξῃ τὸν θεόν: οὕτως Ἀριστοφάνης ἐν Πλούτῳ.

π 2655 Προσευσχολεῖν: ἐπιμελῶς βλέπειν. ἀφιέναι δὲ τὸ σπουδαζόμενον καὶ τῇ θεωρίᾳ προσευσχολεῖν αὐτοῦ.

π 2656 Προσεφθέγγετο· αἰτιατικῇ.

π 2657 Προσεχές: ἐγγύς. ἐπὶ τάδε τῆς πόλεως ὁρμεῖν οὐκ ἠδύναντο διὰ τὸ προσεχεῖς εἶναι ἀκτὰς τοῖς ἐτησίαις. ἀλίμενος γάρ ἐστι καὶ προσεχὴς ὁ τῇδε αἰγιαλός.

π 2658 Προσέχεια: ἡ προσοχή.

π 2659 Προσέχω· δοτικῇ.

π 2660 Προσέχοιεν: ἐπιμελῶς τηρεῖν. ὅπως οἱ πολέμιοι ταύτῃ προσέχοιεν τὸν νοῦν. καὶ αὖθις· οὐδὲ πάνυ τι προσεῖχε τοῖς βιβλίοις.

π 2661 Πρὸς ζόφον: πρὸς δυσμάς.

π 2662 Πρόσει: προσέρχῃ.

π 2663 Προσειλήφεσαν: ὑπέλαβον, ἐνενόησαν. Ἰώσηπος· προσειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος μηδὲν αὐτὸν ἀρνήσασθαι τῶν ὑπονοηθέντων, ἀλλ’ ἐπὶ συγγνώμης πορισμῷ πάντα πεποιηκέναι.

π 2664 Πρόσειλος: πρὸς τὴν εἵλην, ἤτοι θερμασίαν.

π 2665 Προσείλου: προσελάβου, συνηρίθμησας. Αἰλιανός· εἶτα, ἀσελγέστατε, τοσοῦτοι ἐχθροὶ γεγενήμενοι οὐκ ἤρκεσαν, ἀλλ’ ἄρα καὶ ἐμὲ εἰς τὴν τῶν ἐχθρῶν προσείλου τάξιν;

π 2666 Προσειπών· καὶ τοὺς ἀδελφοὺς τὰ ἔσχατα προσειπών. καί, προσειπὼν οὖν τὸν Δανιήλ.

π 2667 Προσείρων: προσάπτων.

π 2668 Πρόσεισι· δοτικῇ:

π 2669 Προσεῖχε.

π 2670 Προσηγάγου: ἀντὶ τοῦ περιεπλέξω, παρὰ σεαυτὸν ἔλαβες. Ἀριστοφάνης Ὄρνισιν· οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου. ἀντὶ τοῦ πρὸς σεαυτὸν ἔλαβες εἰς συνουσίαν.

π 2671 Προσηγάσθησαν: ὑπερεθαύμασαν. τοῦτον ἀπεδέξαντο τὸν λόγον τοῦ νεανίσκου καὶ προσηγάσθησαν, πῶς οἴει, σφόδρα τὸν Πρόκλον.

π 2672 Προσηγγελμένοις: τοῖς ἤδη ἀγγελθεῖσι. τοῖς προσηγγελμένοις ἐπαρκέσας οὐδὲν προυργιαίτερον ποιήσεται μετὰ ταῦτα τοῦ βοηθεῖν σφίσι κατὰ δύναμιν.

π 2673 Προσηγλάϊστο: ἐλαμπρύνετο.

π 2674 Προσηγορία: προσφώνησις.

π 2675 Προσήγορος· ὅπου θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

π 2676 Προσήκαντο· αἰτιατικῇ. κατεδέξαντο, ἠθέλησαν. οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν πρεσβείαν, ὀλίγοι δέ τινες διεχρήσαντο τοὺς ἐλθόντας. καὶ αὖθις· Μωϋσῆς μὲν προσήκατο τὴν συμβουλίαν.

π 2677 Προσήκει: πρέπει. προσήκει γε μὲν Ῥωμαίοις μετὰ ἀσφαλείας τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν, ἀλλὰ προσκτωμένοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2678 Προσήκων· δοτικῇ. κατὰ γένος ἀγχιστεύων. ἦν δὲ ὁ παῖς προσήκων κατὰ γένος. καὶ αὖθις· καὶ οἱ τούτοις προσήκοντες τοὺς οἰνοχόους τούσδε ἡγησάμενοι φαρμακεῖς ἀπέκτειναν.

π 2679 Προσήλιος.

π 2680 Προσηλῶ· αἰτιατικῇ.

π 2681 Προσήλυτοι: οἱ ἐξ ἐθνῶν προσεληλυθότες, καὶ κατὰ νόμον ποθήσαντες πολιτεύεσθαι. καὶ οἱ ξένοι.

π 2682 Προσήλυτοι: οἱ ἐξ ἐθνῶν προσεληλυθότες καὶ κατὰ τοὺς θείους πολιτευόμενοι νόμους. Δαβίδ· καὶ προσήλυτον ἐφόνευσαν.

π 2683 Πρὸς σῆμα μητρυιᾶς κλαίεις: ἐπὶ τοῦ ἀφροντίστου, ἢ προσποιουμένου. ἐπὶ τῶν ἀδυνάτων.

π 2684 Προσημπόλησα: προσέλαβον.

π 2685 Πρὸς ἠῶ: πρὸς ἀνατολήν.

π 2686 Προσήραξε.

π 2687 Προσηρεικότος: προσαρμόσαντος. ὁ δὲ κατεσκεύασε στοάς, καὶ διὰ τούτων προσηρεικότος τῷ τείχει τὰς κριοφόρους μηχανάς.

π 2688 Προσηρτημένος: προσκεκολλημένος.

π 2689 Προσηρτῆσθαι: ἀπῃωρῆσθαι.

π 2690 Προσήσεσθαι: ἀρεσθῆναι, δέξασθαι. Ἀππιανός· οἱ ὕπατοι τὰ ὅρκια προὔτεινον καὶ ἐς πάντας ἔφασαν ἐνδώσειν μᾶλλον ἢ Ταρκύνιον προσήσεσθαι.

π 2691 Προσήσεται· αἰτιατικῇ.

π 2692 Προσηταιρίσατο: φιλικὰ ἐποίησεν. οὐκ ὀλίγους τε ἀπὸ τούτων προσηταιρίσατο.

π 2693 Προσῆχεν: ἀντὶ τοῦ προῆγεν.

π 2694 Προσίασι: προσέρχονται.

π 2695 Προσίενται: προσάγονται.

π 2696 Προσίεται· αἰτιατικῇ. ἀρέσκεται, προσδέχεται. Ἀριστοφάνης· τὰ μὲν ἄλλα μ’ ἤρεσε τῶν πραγμάτων, ἓν δ’ οὐ προσίεταί με (ἀντὶ τοῦ οὐ πείθει με), ὅτι ὡς μόνος τὸν ζωμὸν ἐκροφήσεις.

π 2697 Προσιζήσαντες: προσκαθίσαντες.

π 2698 Προσίημι· δοτικῇ.

π 2699 Πρόσιμεν: προσερχόμεθα.

π 2700 Προσιών: προσερχόμενος.

π 2701 Προσίστατο: ἐνεπόδιζεν.

π 2702 Πρόσισχε: τὸ πρόσεχε. Κρατῖνος· καὶ μὴ πρόσισχε βαρβάροισι βουκόλοις. καὶ Εὔπολις· πρόσισχε τὸν νοῦν τῇδε. καὶ Θουκυδίδης γ′· παρανίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως. οὕτως δὲ καὶ ὑπίσχομαι, τὸ ὑπισχνοῦμαι οἵ τε τραγικοί, καὶ Ἀριστοφάνης· τὸ πρᾶγμα τοῦτο συλλαβεῖν ὑπίσχομαι.

π 2703 Προσιτόν: προσδεχόμενον.

π 2704 Πρόσθεμα: ἡ προσθήκη.

π 2705 Προσθέσθαι: συμπολεμῆσαι. καὶ Πομπηΐῳ τῷ μεγάλῳ προσθέσθαι οὐ κατὰ δέος τὸ Ῥωμαίων, ἀλλὰ κατ’ εὐνοίαν τὴν ἐς βασιλέα τε καὶ αὐτοὺς Ῥωμαίους.

π 2706 Προσθεῖναι τὰς θύρας: ἀντὶ τοῦ ἐπικλεῖσαι. Ἡρόδοτος γ′.

π 2707 Προσθίγω· δοτικῇ.

π 2708

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πρὸς θυμοῦ: ἐπιμελέστερον. εἶναι δὲ Ῥωμαίοις ἐκ παλαιοῦ πάτριον, καὶ μάλιστα δὴ πρὸς θυμοῦ Ἀντωνίῳ. ἀντὶ τοῦ ἠγαπᾶτο.

π 2709 Πρὸς θυμοῦ αὐτοῖς ἐγένετο: ἀντὶ τοῦ ἀρεστὸν καὶ θυμῆρες. καὶ αὖθις· τοῖς δὲ οὐ πρὸς θυμοῦ ὁ πόλεμος ἐγίγνετο.

π 2710 Προσκαθεδοῦμαι· δοτικῇ.

π 2711 Προσκαθῆσθαι: ἐνυπάρχειν. τῷ γὰρ μηδεμίαν ἔννοιαν μηδενὶ προσκαθῆσθαι τοῦ μέλλοντος, πάντας εἰς ἔκπληξιν ἤγαγε τοὺς φονικούς.

π 2712 Προσκαθίστη· ὅπη ὕποπτοι ἦσαν ἐπελεύσεσθαι οἱ πολέμιοι, προσκαθίστη. ἀντὶ τοῦ ἐπολυπλασίαζε.

π 2713 Προσκακοπαθῶ· δοτικῇ.

π 2714 Προσκαλέσαι: ἀντὶ τοῦ προσκαλέσασθαι.

π 2715 Προσκαλοῦμαι· αἰτιατικῇ.

π 2716 Πρὸς καλοῦ ἐγένετο αὐτῷ.

π 2717 Πρὸς Κᾶρα καρίζεις: ἐπὶ τοῦ ὁμοίου. ὡς καὶ τὸ πρὸς Κρῆτα κρητίζεις.

π 2718 Προσκαρτερῶ· δοτικῇ.

π 2719 Προσκαταθείην: ἀντὶ τοῦ ζημιωθείην. Ἀριστοφάνης· καὶ προσκαταθείην γ’ ὥστ’ ὀμόσαι τριώβολον. τουτέστι ζημιωθείην ἂν τρεῖς ὀβολούς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τῶν ὅρκων.

π 2720 Προσκαύσασα: ἐπὶ τῆς χύτρας. προσκαύσασα ἡ Θρᾶττα πρῴην τὴν χύτραν.

π 2721 Πρὸς καιρὸν ποιῶ: ἀντὶ τοῦ ἀληθῶς.

π 2722 Προσκεκλήσεσθαι: τουτέστιν εἰς δικαστήριον κληθήσεσθαι. σὺ δέ, νὴ τὸν Ἑρμῆν, προσκεκλήσεσθαί γέ μοι, εἰ μὴ ἀποδώσεις τἀργύριον. Ἀριστοφάνης Νεφέλαις.

π 2723 Προσκεκρουκώς: ἐχθρὸς γεγονώς. ὁ δὲ Σεβαστιανὸς προσκεκρουκὼς διὰ γνώμης ὀρθότητα τοῖς κατακοιμισταῖς εὐνούχοις τοῦ βασιλέως, εὔκολος ὢν διὰ πενίαν καὶ κοῦφος ἐς μετανάστασιν διεδέχθη τῆς στρατηγίας.

π 2724 Πρὸς κενὴν ᾄδεις: πρὸς ἐρρωγυῖαν ᾄδεις, ἐπὶ τοῦ μάτην πονοῦντος.

π 2725 Πρὸς κέντρα λακτίζεις.

π 2726 Προσκεφάλαιον. οὕτω φησὶν Ἀριστοφάνης.

π 2727 Προσκέχηνα· δοτικῇ.

π 2728 Προσκέψομαι: περισκοπήσω. περιεργάσομαι, εἰσελθὼν καὶ κατανοήσας.

π 2729 Προσκείμενοι: οἷον κολλώμενοι, προσεγγίζοντες. καὶ Προσκειμένων τῶν θυρῶν, τουτέστιν ἠσφαλισμένων. ὁ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θύραις (ἀντὶ τοῦ κεκλεισμέναις) καὶ τῶν ἐπισπαστήρων λαβόμενος ἀπρὶξ εἴχετο, καρτερικῶς καὶ μάλα ἐγκρατῶς. ἐπεὶ δὲ ἀποσπώντων βίᾳ ἀπέκοψαν τὸ πᾶν σῶμα τῶν χειρῶν.

π 2730 Προσκινήσομαι· Ἀριστοφάνης· κακῶς παρέξω κοὐχὶ προσκινήσομαι. συνουσιάσαι αὐτῷ δηλονότι.

π 2731 Προσκήνιον: τὸ πρὸ τῆς σκηνῆς παραπέτασμα. ἡ δὲ τύχη παρελκομένη τὴν πρόφασιν καθάπερ ἐπὶ προσκήνιον παρεγύμνωσε τὰς ἀληθεῖς ἐπινοίας.

π 2732 Προσκληδονιζόμενος: ἐπ’ ἀγαθῷ ὀττευόμενος. Ἰώσηπος· ταῦτά τε δὴ προσκληδονιζόμενος καὶ σταθερὰν μετ’ ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν.

π 2733

Προσκλήσεις: πρὸς ἃς καλεῖ τις 〈εἰς〉 δικαστήριον ἢ βουλήν, κλητῆρας ἔχων· πρόκλησις δέ, χωρὶς τοῦ ς, καὶ προκαλεῖσθαι ἐπὶ διαιτητὴν καὶ οἷον ἐπὶ βάσανόν τινος ἀνδραπόδου ἢ μαρτυρίαν τοῦδέ τινος βαλέσθαι.

π 2734 Πρόσκλησις: ἡ εἰς δικαστήριον κλῆσις. καὶ προσκαλέσαι τὸ παραγγέλλειν εἰς δίκην. Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου.

π 2735 Πρόσκλισις: ἑτερομέρεια. μὴ διαπράξασθαί τι κατ᾽ ἔχθραν ἢ κατὰ πρόσκλισιν.

π 2736 Προσκλιτόν: ἐν ᾧ ἀκουμβίζομεν.

π 2737 Πρόσκομμα: ζημία, βλάβη, σκάνδαλον.

π 2738 Προσκομιστέον: προσενεκτέον.

π 2739 Προσκοπήν: πρόσκρουσιν. ὁ δὲ τῶν τοῦ βασιλέως φίλων ἐπὶ τοσοῦτον ἐς διαφορὰν ἥκοι καὶ προσκοπήν, ὥστε σπεύδειν αὐτοὺς περιβαλεῖν αὐτὸν ἀνηκέστῳ τινὶ κακῷ.

π 2740 Προσκοπῶ· δοτικῇ.

π 2741 Πρὸς κώρυκον γυμνάζεσθαι: ἐπὶ τῶν διακενῆς μοχθούντων.

π 2742 Προσκόπων: προφυλάκων. ὁ δὲ Τραιανός τινας ἀγγελίας ψευδεῖς διὰ τῶν προσκόπων ἀεὶ καθιεὶς εἴθιζεν ἅμα μὲν ἐν κόσμῳ πορεύεσθαι, ἅμα δὲ πρὸς τὰ φοβερὰ μὴ ταράττεσθαι.

π 2743 Προσκόψῃς πρὸς λίθον τὸν πόδα σου: ἀντὶ τοῦ προσπταίσεις. τὸ σμικρότατον δὲ διὰ τοῦ προσκόψαι τῷ λίθῳ δεδήλωκεν.

π 2744 Προσκώπους: τοὺς πρὸς ταῖς κώπαις ναύτας, τοὺς κωπηλάτας.

π 2745 Πρὸς Κρῆτα κρητίζων: παροιμία ἐπὶ τῶν μάτην πονούντων. Πολύβιος· ὁ δὲ ἠγνόει τὸ δὴ λεγόμενον πρὸς Κρῆτα κρητίζων.

π 2746 Προσκρούειν· δοτικῇ. ἐναντιοῦσθαι, ἐκμηχανᾶσθαι. οἱ Σικελιῶται τὸν στόλον ἰδόντες οὐκ ἐν τοῖς ὀχυρώμασι καθεῖρξαν αὐτούς, οὐκ ἄλλο προσκρούειν τοῖς ἐναντίοις οὐδὲν ἔγνωσαν.

π 2747 Προσκυνεῖ: προσεγγίζει.

π 2748 Προσκυνεῖ· δοτικῇ, καὶ αἰτιατικῇ δέ. καὶ σὲ προσκυνεῖν τὸν ἥλιον τῆς δικαιοσύνης.

π 2749 Πρόσκυσον: προσκύνησον.

π 2750 Προσλαλῶ· δοτικῇ.

π 2751 Πρὸς λέοντα δορκάδες ἅπτουσι μάχην: ἐπὶ τῶν πρὸς κρείττονας ἐριζόντων.

π 2752 Πρὸς λύραν ᾄδειν. τὰ κατὰ τὸν ἑταῖρον ἡμῶν μετρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι θεοῦ τε καὶ ἀνθρώπων νέμεσιν. αὕτη μέντοι σαφῶς ἐστι, περὶ ἧς πρὸς λύραν ᾄδομεν.

π 2753 Προσμαρτυρῶ· αἰτιατικῇ καὶ δοτικῇ. προσμαρτυρῶ σοι τόδε, καὶ προσμαρτυρῶ σε τόδε.

π 2754 Προσμειδιῶ· δοτικῇ.

π 2755 Πρὸς νῦν σε μητρὸς πρός τε πατρός, ὦ τέκνον, πρός τ᾽, εἴ τις σοι κατ᾽ οἶκόν ἐστι προσφιλές, ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ᾽ οὕτω μόνον, ἔρημον ἐν κακοῖσι τοῖσδε γ᾽, οἷς ὁρᾷς, ὅσοις τ᾽ ἐξήκουσας ἐνναίοντά με.

π 2756 Προσόδια: ἀπὸ τῶν προσόδων. οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς πομπάς. καὶ προσόδια τὰ εἰς πανηγύρεις θεῶν ποιήματα παρὰ τῶν λυρικῶν λεγόμενα.

π 2757 Προσόδια: ὕμνοι. ἀρχὴ προσοδίου· τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν ἢ θοῶν ἵππων ἐλατῆρας ἀείδειν;

π 2758 Πρόσοδος: εἰσφορά, εἴσοδος, ἢ παρουσία, ὡς Θουκυδίδης καὶ ἕτεροι. ὁ δὲ Καῖσαρ ἐκ τῆς προσόδου μόνης τούτους κατέπληξε. τουτέστι παρουσίας.

π 2759 Προσοδώδασι: προσώζεσαν.

π 2760 Προσοκέλλω: τῷ αἰγιαλῷ προσεγγίζω. καὶ Προσοκείλαντες, προσορμίσαντες.

π 2761 Προσομιλῶ· δοτικῇ.

π 2762 Πρὸς ὄνομα: κατὰ ὄνομα δηλονότι.

π 2763 Προσουδίζει: τῷ ἐδάφει προσκρούει. ἐκ τοῦ ἵππου ῥίψας προσουδίζει χαμαί.

π 2764 Προσουδίζει: πρὸς τὸ ἔδαφος ῥιπτεῖ. ὁ δὲ ἄρας μετέωρον προσουδίζει τε καὶ ἀποκτείνει.

π 2765 Προσουρίου: ἐπιτηδείου.

π 2766 Προσοχή: ἀκριβὴς ἐπιμέλεια διαίτης. τοῦ ἰδίου σώματος ἐπιμελητικῶς δεῖ ἔχειν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζῳος οὔτε πρὸς καλλωπισμὸν οὔτε μὴν ὀλιγώρως, ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῆς χρῄζειν φαρμάκων καὶ ἐπιθεμάτων ἐντὸς καὶ ἐκτός.

π 2767 Προσοχθίζω· δοτικῇ.

π 2768 Προσοχθίσματα: ἡ Γραφὴ καλεῖ τὰ εἴδωλα. καὶ Προσώχθισα, δυσηρεστήθην, ἐβδελυξάμην.

π 2769 Πρὸς ὄψιν: πρὸς θεωρίαν. Σοφοκλῆς· τὸ δ' εὐχλόου Δήμητρος εἰς προσόψιον πάγον μολοῦσα τάσδ' ἐπιστολὰς πατρὶ ταχεῖ πόρευσον ξὺν χρόνῳ.

π 2770 Πρόσω: ἔμπροσθεν. Ἰωτόμην δὲ καίπερ οὐ πρόσω τοῦ τεθνάναι ὄντα ἀποτμηθῆναι τὴν κεφαλὴν κελεύει, ὡς μὴ ἐκφύγῃ τὸν τῶν κακούργων θάνατον.

π 2771 Πρόσω: ἀντὶ τοῦ ἀπωτέρω. εὐθεῖαν ἐδόκει ἐλαύνειν ὡς ἐπὶ Σελεύκειαν. εἶναι γὰρ οὐ πρόσω σφῶν τὴν Σελεύκειαν, ἅτε εἴκοσι τῶν πλείστων ἡμερῶν ὁδὸν ἀπέχουσαν. καὶ αὖθις· εἶχε δὲ καὶ πεζοὺς οὐ πρόσω τῶν δισμυρίων. ἀντὶ τοῦ οὐ πλείους.

π 2772 Προσῳδία· καὶ Προσῴδιον: ὁ ὕμνος.

π 2773 Προσώκειλαν: προσώρμισαν.

π 2774 Προσωπεῖον: πρόσχημα. Πρόσωπον ἐπὶ θεοῦ ἡ ἐπιφάνεια αὐτοῦ. Δαβίδ· πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά. καὶ ἡ λύσις τῶν πονηρῶν καὶ τῶν ἀγαθῶν ἡ χορηγία.

π 2775 Προσωτέρω: περαιτέρω.

π 2776 Προσώχθικε: προσκέκρουκε, προσκέκοφεν. ἀπὸ τοῦ τὰ ἐπινηχόμενα ταῖς ὄχθαις προσκρούεσθαι.

π 2777 Προσώχθισα: ἐβδελυξάμην, δυσηρεστήθην. καὶ Πισίδης· εἰ δ' αὖ σχολάζει καὶ προσοχθεῖ τῇ μέθῃ.

π 2778 Προσπαλαίω· δοτικῇ.

π 2779 Προσπαθῶ σε· αἰτιατικῇ.

π 2780 Προσπάλτιοι· Πρόσπαλτα, δῆμος τῆς Ἀκαμαντίδος. ζήτει ἐν τῷ Δραχαρνεῦ.

π 2781 Προσπατταλεύσω: προσπήξω. Ἀριστοφάνης Πλούτῳ· ὥσπερ κοτίνῳ προσπατταλεύσω. εἰώθασι γὰρ κοτίνῳ καὶ ἄλλοις δένδροις προσπατταλεύειν τὰ ἀναθήματα καὶ κωλὰς καὶ κρανία πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοί, πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά.

π 2782 Προσπαίζω· δοτικῇ.

π 2783 Προσπαίω· δοτικῇ.

π 2784 Προσπελάζει: προσεγγίζει.

π 2785 Προσπέσῃ: συμβῇ. αὐθυπότακτον.

π 2786 Προσπεσόντων: ἀγγελθέντων. Πολύβιος· προσπεσόντων δὲ τούτων ἐς Τάραντα καὶ τοὺς Θουρίους, ἠγανάκτει τὰ πλήθη.

π 2787 Προσπηδῶ· δοτικῇ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2788 Προσπίπτουσαι: συναντῶσαι. κατὰ τὰς διόδους προσπίπτουσαι τοῖς ἀπὸ τοῦ δείπνου.

π 2789 Προσπιπτούσης: ἀντὶ τοῦ ἀγγελλομένης.

π 2790 Προσπίπτω· δοτικῇ.

π 2791 Προσπεφυκότος: ἀπρὶξ οὖν, ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς. καὶ ἀπρίξ, προσπεφυκότος, ὃ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύγχυσιν.

π 2792 Προσπορευομένων: προσερχομένων μεθ' ἱκετηρίας. προσπορευομένων δ' αὐτῷ τῶν ἠδικημένων, τοὺς μὲν διέσυρε χλευάζων, τῶν δὲ κατανίστατο, τοὺς δὲ ἐξέπληττε λοιδορῶν.

π 2793 Προσπορισθέν: ἐπινοηθέν, προσοδευθέν.

π 2794 Προσπταίω· δοτικῇ.

π 2795 Προσπτύξομαι: προσκυνήσω.

π 2796 Προσπτύσσω· δοτικῇ.

π 2797 Προσποιεῖται· αἰτιατικῇ. οἰκειοποιεῖται, ἢ πλάττεται, καὶ ὑποκρίνεται. γνόντες οἱ Φράγκοι ὡς Βελισάριος εὐτυχεῖ καὶ προσποιεῖσθαί τε τὴν Ἰταλίαν ἐθέλοντες περὶ συμμαχίας βουλεύονται. καὶ Προσποιούμενος· καὶ οὐδ' ὁτιοῦν ἐν ἑαυτῷ ἔχειν προσποιούμενος. οἱ δὲ οὐ προσποιοῦνται κακουμένους Ῥωμαίους, καίπερ αὐτῶν φίλοι ἐκ παλαιοῦ ἐς τὰ μάλιστα ὄντες.

π 2798 Προσρῆξαν: προσαράξαν.

π 2799 Προσρήσεσι: προσηγορίαις. καὶ Πρόσρησις, προσηγορία, λόγος κατ' ἐπαγγελίαν λεγόμενος. ἐσήμηνε Σιζίβουλος ὁ Τούρκων ἡγεμὼν ὡς ὁ Ῥωμαίων φίλος οὐχ ἧττον καὶ αὐτῷ ἐπιτήδειος, καὶ ὁ δυσμενὴς ὁμοίως· ἐπειδὴ τηνικαῦτα Ῥωμαῖοι Πέρσαις ἐπολέμουν ἐπὶ τῇ προσρήσει, δέον εἶναι ἐν καιρῷ καὶ αὐτὸν ἐπιθέσθαι Πέρσαις.

π 2800 Πρόσριζα: σὺν ταῖς ῥίζαις. Ἀππιανός· τὰ δένδρα ἔκοπτε πρόσριζα, τοῦ μὴ πάλιν φῦναι.

π 2801 Πρόσταξις· πρόσταξίς ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως ἢ ἐκ θατέρου κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στῖφος τῇ πάσῃ φάλαγγι, κατευθὺ τοῦ μετώπου τῆς τάξεως.

π 2802 Προστασία: βοήθεια. ὁ δὲ ἐξέπεμπε τὸν Πόπλιον μετὰ μεγάλης προστασίας. δυνάμεως, ἐξουσίας. καὶ αὖθις· καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προστασίαν.

π 2803 Προστασία· Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος· ταῦτα οὐχ ὁμολογουμένη προστασία. ἀντὶ τοῦ βοήθεια, προϊσταμένου τινὸς καὶ ἐπικουροῦντος τῷ ἀδικουμένῳ. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας· ὡς δεῖ τὰ τῆς τῶν Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείου. Δίδυμος τὴν προστασίαν φησὶ κεῖσθαι ἀντὶ τῆς προστάσεως, τουτέστι τῆς ὑπ' ἐνίων προστάδος καλουμένης.

π 2804 Προστάσσω· δοτικῇ.

π 2805 Προστατεύω· γενικῇ.

π 2806 Προστατεῖ· αἰτιατικῇ. προηγεῖται, προέστηκε, παρακολουθεῖ.

π 2807 Προστατεία· Προστασία δέ.

π 2808 Προστάτης: ἱκέτης, ὁ προεστηκὼς τῶν βωμῶν. ἔξοιδ' ἀκούων τῶνδ', ὅς ἐστιν ὁ προστάτης. βούλομαι.

π 2809 Προστάτης: οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες προστάται ἐκαλοῦντο· ἀναγκαῖον γὰρ ἦν ἑκάστῳ τῶν μετοίκων πολίτην τινὰ Ἀθηναῖον νέμειν προστάτην. ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα, ὅσον περ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω βάρεως τὰ τῆς πόλεως πράγματα· ὁρῶ γὰρ αὐτὴν προστάταις χρωμένην ἀεὶ πονηροῖς· κἂν τις ἡμέραν μίαν χρηστὸς γένηται, δέκα πονηρὸς γίγνεται. Προστάτις δὲ θηλυκόν, διὰ τοῦ ι· προστάτιδος ἡ γενική.

π 2810 Προστατῶν: ὁ ἐπιγινόμενος. ἀλλ' ὁ προστατῶν χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην. νῦν δ' ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην φόβου.

π 2811 Προστεθέντος: συνευδοκήσαντος. τοῦ δὲ Εὐθυμίου προστεθέντος τῷ ἀνδρὶ καὶ δεδωκότος αὐτῷ τὴν τῶν ὑπηρετῶν ὑπουργίαν.

π 2812 Προστέτηκε: προσκεκόλληται.

π 2813 Προστηθιδίων· ἐξελθόντες μεγάλοι δύο μετὰ τύπων καὶ προστηθιδίων ἐδέοντο μηδὲν ἀνήκεστον βουλεύεσθαι περὶ τῆς πόλεως. τουτέστιν εἰκόνες μέχρι στήθους.

π 2814 Πρόστηθί μου· Προστίθεμαι δὲ δοτικῇ.

π 2815 Πρὸς τῇ πυλίδι Ἑρμῆς· Δημοσθένης ἐν τῷ κατ' Εὐέργου. Φιλόχορός φησι περὶ τοῦ πρὸς τῇ πυλίδι Ἑρμοῦ, ὡς ἀρξάμενοι τειχίζειν τὸν Πειραιᾶ οἱ θ' ἄρχοντες, τοῦτον ἀναθέντες ὑπέγραψαν οὕτως· πρῶτοι τειχίζειν οἵδ' ἀνέθηκαν, βουλῆς καὶ δήμου δόγμασι πειθόμενοι.

π 2816 Προστήσας: προαγαγών.

π 2817 Πρόστητ' ἀναγκαίας τύχης: ἐπίκουροι γίνεσθε τῆς κατεπειγούσης συντυχίας.

π 2818 Προστιβάδες· ὁ δὲ κατῴκει ἐν σπηλαίῳ, προστιβάδας ἐντετμημένας ἔχοντι κατὰ τὴν πέτραν.

π 2819 Πρὸς τιμῆς· ἦν δὲ ὁ φιλόσοφος πρὸς τιμῆς τῷ βασιλεῖ.

π 2820 Πρόστιμα: ἐπίχειρα. τοιάδε μὲν τοῖς κακῶς βουλευομένοις δίδωσι τὰ πρόστιμα ἡ δίκη. καὶ Πρόστιμον, ζημία, ἐπιτίμιον, παραγραφή. Πολύβιος· παρὰ Ῥωμαίοις θάνατος ἦν πρόστιμον τῆς ἐφεδρείας λιπόντι τὴν τάξιν. καὶ αὖθις· οἱ δὲ ἔδωκαν τῷ βασιλεῖ ν' τάλαντα πρόστιμον τῆς ἁμαρτίας.

π 2821 Προστιμήματα: ἔστι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων, ἡ ἐπωβελία· ἔστι δὲ καὶ ἄλλα, ἃ προστιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

π 2822 Προστρέπεσθαι: ἀποπέμπεσθαι, τρέπεσθαι ἐφ' ἑαυτοῦ.

π 2823 Προστρέπω: παρὰ Σοφοκλεῖ. ἀντὶ τοῦ ἱκετεύω. μή μ' ἀτιμάσῃς, τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.

π 2824 Πρὸς τὸν σωρὸν ἀμᾶσθαι: πρὸς τοὺς μεγάλοις ἔργοις ἐπιτιθεμένους. ἢ ἐπὶ τῶν παρεγγυώντων.

π 2825 Πρόστῳον: τὸ ἔμπροσθεν τῆς στοᾶς.

π 2826 Προστρέχω· δοτικῇ.

π 2827 Προστρίβεται· Ἀριστοφάνης· πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις. τουτέστιν ὕβρεις καὶ κακὰ πράγματα κατασκευάζει καὶ μηχανᾶται καὶ περιποιεῖται.

π 2828 Προστρόπαιον· ἡ δὲ ζῶσα βίον τὸν προστρόπαιον γυναικί. ἀντὶ τοῦ ἱκετικόν.

π 2829 Προστρόπαιον: τὸ ἄγος, μίασμα. οὕτως Αἰσχίνης. καὶ προστροπὴ δὲ λέγεται· ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ.

π 2830 Προστρόπαιος: προστετραμμένος, ἱκέτης παρακαλῶν. Σοφοκλῆς· θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου, ἱκτήριον θησαυρόν. ἱκέσιον κτῆμα· ὅ ἐστι τὰς τρίχας. καὶ αὖθις· καὶ προστροπαίους τῶν δι' ἐκεῖνον ἠτυχηκότων.

π 2831 Πρὸς τρόπον αὐτῷ· Πολύβιος· ὁ δ' Ἀντίοχος πρὸς τρόπον αὐτῷ καὶ παραδόξου γενομένης τῆς ἐπαγγελίας ὑπερχαρὴς ὢν πάνθ' ὑπισχνεῖτο.

π 2832 Πρόστροποι: προσπεπτωκότες, προστετραμμένοι. Σοφοκλῆς· ἱκετεύομέν σε πάντες ὧδε πρόστροποι, ἀλκήν τιν' εὑρεῖν ἡμῖν.

π 2833 Προστυχής: ὁ κατὰ τύχην ἐντυχών.

π 2834 Πρόσοικος: οἰκειότερον μᾶλλον τὸ ὅμορος· ἐπὶ γὰρ ὅρων τοῦτο λαμβάνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2835 Πρὸς οἰωνοῦ δεξιοῦ τιθέμενος ἐν πολεμίῳ χάρακι σταθμεῦσαι.

π 2836 Πρόσοιτο: προσδέξαιτο, ἐπισπάσοιτο. οὐδὲ γὰρ πρόσοιτο ἀναβάτην ἡ κάμηλος οὐδένα ὑπ' αὐθαδείας καὶ ἀσυνηθείας. καὶ αὖθις Δαμάσκιος· ἦν δὲ ἱκανὸς ἰδεῖν ὅπη τε σαθρὸν φθέγγεται ὁ λόγος, καὶ ὅπη ὑγιές, ἵνα τὸ μὲν πρόσοιτο, τὸ δὲ ἐξελέγξειε. καὶ αὖθις· εἰ μετάνοιαν ἁμαρτωλοῦ πρόσοιτο.

π 2837 Προσύμβολα· ἀλλὰ ταῦτα μὲν εἰρήσθω προσύμβολα, ὥς φασι.

π 2838 Προσφερεῖς: ὁμοίας. ὁ δὲ ἀπαντήσας τοῖς βαρβάροις πυρὶ προσφερὴς ἔργα ἐπεδείκνυτο χεῖράς τε ἀνθρώπου καὶ τόλμαν παρατρέχοντα.

π 2839 Προσφέρωνται: ἀντὶ τοῦ προστεθῶσι.

π 2840 Προσφέρω· δοτικῇ.

π 2841 Προσφεύγω· δοτικῇ.

π 2842 Προσφθέγγομαι· αἰτιατικῇ.

π 2843 Προσφορά: προσθήκη, πρόσδοσις. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται.

π 2844 Προσφορά: πρόσοδος. Ἀντιφῶν.

π 2845 Πρόσφορα: χρήσιμα. δράσω καὶ τάδε καὶ πάνθ' ὅσα πρόσφορα ὑμῖν πρὸς χάριν.

π 2846 Πρόσφορον: οἰκεῖον, ἁρμόδιον, ἐπιτήδειον. οὐ γὰρ διὰ τὴν τύχην τῶν συμβεβηκότων ἀθετήσεις τῆς ἀξίας ἢ τῆς προσηγορίας τὸ πρόσφορον. Χοσρόης φησὶ πρὸς Μαυρίκιον.

π 2847 Προσφυές: προσοικειούμενον.

π 2848 Προσφυῶς: οἰκείως, ἀκολούθως.

π 2849 Πρόσφυξ: ὁ αὐτόμολος.

π 2850 Προσφύς: προσπλακείς. καὶ Προσφῦναι καὶ Προσφύντος.

π 2851 Προσχαιρητήρια: ἑορτὴ παρ' Ἀθηναίοις γραφομένη, ὅτε δοκεῖ ἀπιέναι ἡ Κόρη.

π 2852 Πρόσχημα: παρακάλυμμα τοῦ ἤθους, ἢ πρόφασις. οὐδὲν ἄλλο σοι πρόσχημ' ἀεί, ὡς ἐξ ἐμοῦ τέθνηκεν. αὐτὸν γὰρ ἐν προσχήματος μοίρᾳ ἐξιόντα, μήτε Οὔννοις μήτε τοῖς ἐκείνων συμμάχοις ἐς χεῖρας ἰέναι.

π 2853 Πρόσχημα: παρακάλυμμα. Σοφοκλῆς· πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν. ὡς οὔπω ὄντος τοῦ γυμνικοῦ ἀγῶνος. προσχήματι οἰκονομίας βαρβαρικῆς ἐχόμενοι σμικρολογίας.

π 2854 Πρόσχορδα: σύμφωνα.

π 2855 Προσχών.

π 2856 Προσχωρῶ· δοτικῇ.

π 2857 Πρόσχωροι: περίοικοι.

π 2858 Προσψαύσασαι αἱ σάρκες τοῦ μάρτυρος τῷ πυρί.

π 2859 Προταλαιπωρῶ· γενικῇ.

π 2860 Προταμών: κόψας.

π 2861 Πρόταξις ψιλῶν: ὅταν τῶν ἄλλων ἐν πολέμῳ οὗτοι προτάττωνται, ὑπόταξις δὲ ὅταν ὑποτάττωνται· προσένταξις δὲ ὅταν καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι παρ' ἄνδρα τάττωνται. λέγεται δὲ καὶ παρένταξις τοῦτο.

π 2862 Πρότασις· ὅτι πρότασις ἐστὶ λόγος ἐξ ὅρων δύο, τῷ σημαινομένῳ τι περί τινος δηλῶν, ἢ ὡς ὑπάρχον ἢ ὡς οὐχ ὑπάρχον. τρόπος δὲ ἁπλῶς δύο προτάσεων ἁπλῆ κοινωνία τρεῖς ὅρους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐχουσῶν, ἐξ ὧν ἀνάγκη τὸν ἕνα δίς τε εἰλῆφθαι καὶ ἐν ἀμφοτέραις ὑπάρχειν. σχῆμα δὲ τρόπος ὡδὶ τὸ μέσον ἔχων.

π 2863 Πρότασις: ἡ προτεινομένη ἐρώτησις. πρόβλημα τὸ προβληθὲν ἐρώτημα. διαφέρει δὲ τῷ τρόπῳ μόνον· συνίστανται δὲ ἐξ ἀντιφάσεων. ὅτι πρόβλημα καὶ πρότασις τῶν αὐτῶν εἰσι δηλωτικὰ καὶ ἐν τοῖς αὐτοῖς· τῷ δὲ τρόπῳ τῆς ἐκφορᾶς τῆς κατὰ τὴν λέξιν μόνον αὐτοῖς ἡ διαφορά. τὸ γὰρ αὐτὸ ἐρώτημα μετὰ μὲν τοῦ πρότερον λεγόμενον πρόβλημά ἐστι, μετὰ δὲ τοῦ ἆρά γε πρότασις. καί εἰσιν αὐτὰ διαλεκτικὰ προβλήματα καὶ αἱ διαλεκτικαὶ προτάσεις. πρόβλημα μὲν οἷον, πότερον ὁ κόσμος σφαιροειδὴς ἢ οὔ; πρότασις δέ, ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστι; τοῦ ἢ οὐ οὐ προστιθεμένου.

π 2864 Προτέγειον.

π 2865 Προτέλεια: ἡμέραν οὕτως ὀνομάζουσιν, ἐν ᾗ εἰς τὴν ἀκρόπολιν τὴν γαμουμένην παρθένον ἄγουσιν οἱ γονεῖς εἰς τὴν θεὸν καὶ θυσίας ἐπιτελοῦσι.

π 2866 Προτέλεια. Πρωτόλεια δέ. Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. τὰ πρὸ τοῦ τελεσθῆναί τι τῶν εἰς τὸ θεῖον ἀναφερομένων γιγνόμενα ἢ διδόμενα.

π 2867 Προτέλειον: ἡ προπαιδεία. καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μούσας, ἀλλὰ τὸ κράτος αὐτῷ τῆς σοφίας ἐν ταύταις ἐστί, καὶ οὐδ’ εἴ τι περιττὸν αἰνίττονταί ποτε, συνιέναι βούλεται, καὶ ὑπὸ τούτου κατέχεται, πολλὰ καὶ ἀγαθὰ αὐτῷ γένοιτο. Τέλος λέγεται καὶ ὁ γάμος. καὶ προτέλεια, τὰ ὑπὲρ τοῦ γάμου θύματα. ἀλλὰ καὶ τῶν Σινωνίδος γάμων προθυσάσθω καὶ προτέλεια τοῦ μοιχοῦ ὁ ἀνὴρ γενέσθω.

π 2868 Προτεμενίσματα: προπύλαια, ἢ προάστεια.

π 2869 Προτένθαι: οἱ πρὸ καιροῦ τῶν προσφαγίων ἀπογευόμενοι, ἢ οἱ προαρπάζοντες καὶ μεταπιπράσκοντες πλείονος, οἱ νῦν μετάβολοι καλούμενοι· οἱ προλαμβάνοντες τὰ ὄψα, πρὶν εἰς τὴν ἀγορὰν κομισθῆναι. Προὐτένθευσαν δὲ προελιχνεύσαντο, προέλαβον τὴν προθεσμίαν, ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν ἢ ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι.

π 2870 Προτένθης: ὁ λίχνος. Αἰλιανός· προτένθης καὶ ὀψοφάγος.

π 2871 Πρό τε παίδων καὶ πρὸ γυναικῶν: ἀντὶ τοῦ ὑπὲρ παίδων καὶ ὑπὲρ γυναικῶν.

π 2872 Προτεραία: ἡ πρώτη. καὶ Προτεραῖος.

π 2873 Προτεραίτερος: ἀντὶ τοῦ πρότερος.

π 2874 Προτερήσαντες: πρότεροι γεγονότες. οἱ δὲ Ῥωμαῖοι προτερήσαντες τοῖν δυοῖν ποταμοῖν κοντοὺς ἔπηξαν ὑποβρυχίους. καὶ αὖθις· παρὸν ἡμῖν ἢ ἄρδην ἀπολωλέναι ἢ προτερήσασι δόξαν μέν τινα προπεταίας ἀπενέγκασθαι, βιοτεύειν δὲ ὅμως ἔτι κατ’ ἐξουσίαν.

π 2875 Πρότερον χελώνη παραδραμεῖται τὸν δασύπουν: ἐπὶ τῶν ἀδυνάτων. καὶ πρότερον αἷμα ὕσει.

π 2876 Προτέρωσε: μακροτέρω.

π 2877 Προτέταγμαι· γενικῇ.

π 2878 Προτείνειν: δωρεῖσθαι, χαρίζεσθαι. προτείνειν αὐτῷ φ′ τάλαντα παραχωρήσαντι τῆς Κύπρου, καὶ τἄλλα συνακολουθήσοντα λυσιτελῆ καὶ τίμια παρ’ αὐτῷ συνεπιδεικνύειν, προσενεγκαμένῳ τὴν χρείαν ταύτην.

π 2879 Πρὸ τῆς δίκης: προτιμότερον τῆς δίκης. οἱ θεοσύλαι κολάζονται, τὸ κέρδος πρὸ τῆς δίκης τιθέμενοι.

π 2880 Πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδεις: ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων.

π 2881 Πρὸ τῆς πόλεως: ἔμπροσθεν τῆς πόλεως. οἱ δὲ βάρβαροι παρετάξαντο οὐ πρὸ τῆς πόλεως, ἀλλὰ παρὰ τὴν πόλιν ἐπὶ μίαν εὐθεῖαν, βλέποντες μὲν πρὸς ἀνατολὰς καὶ τὴν ἡμετέραν παρουσίαν,

ἔχοντες δὲ τὸ μὲν δεξιὸν κέρας παρὰ τὴν πόλιν πρὸς αὐτῷ τῷ τείχει, τὸ δὲ λαιὸν ἀνῆκον πρὸς τὰς ἄρκτους.

π 2882 Προτιάπτω: προσάπτω.

π 2883 Προτιειλεῖν: συστρέφειν.

π 2884 Προτίκτωρ: εἶδος ἀξιώματος Ῥωμαϊκοῦ· καὶ φυλάττει.

π 2885 Προτιμᾶν: τὸ φροντίζειν. καὶ Δημοσθένης ἐν Φιλιππικοῖς καὶ Ἀριστοφάνης. οὐδὲν προτιμῶ σου· φορῶ γὰρ πριάμενος τὸν δακτύλιον τονδὶ παρ’ Εὐδάμου δραχμῆς.

π 2886 Προτιμῶ· γενικῇ. γράψας ἀναιδῶς, εἴ τινι προτετίμηται δεσμοῦ. καὶ Ταραντῖνοι μὲν οὐδὲν ἐκείνου προτιμήσαντες. αἰτιατικῇ δέ· θεοῦ καὶ ἀνθρώπων ἐξεταζομένων, προτιμήσεις τὰ τῶν ἀνθρώπων τοῦ θεοῦ.

π 2887 Προτιόσσομαι: προβλέπω. ἀπὸ τῶν ὄσσων ἡ μεταφορά.

π 2888 Πρότμησις: ὀμφαλός, τὸ παρ’ ἡμῖν ἴτρον. διὰ τὸ πρῶτον τέμνεσθαι ἐν τοῖς βρέφεσι.

π 2889 Προτολμίζεσθαι: προέρχεσθαι.

π 2890 Προτομαὶ βασιλικαί: εἰκόνες βασιλικαί. καὶ προτομαὶ λεόντων, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων. κυρίως δὲ ἐπὶ τῶν ἀλόγων ζῴων ἡ προτομὴ λέγεται. τοῖς δὲ τῶν πλοίων ἄκροις τετραπόδων προτομὰς ἀποτυπώσας χαλκῷ περιέλαβε, διὰ τὸ τῶν ἐμβόλων χρειῶδες.

π 2891 Προτομή: ἐπὶ ζῴων ἀλόγων οὕτω λέγεται, ὡς ἐπὶ ἀνθρώπου πρόσωπον. καὶ ἐπὶ κριοῦ μηχανικοῦ προτομὴ λέγεται τὸ πρόσθεν μέρος. ἔστι δὲ τοῦ κριοῦ ἡ κατασκευὴ τοιάδε. δοκὸς ὑπερμεγέθης, ἱστῷ νηὸς παραπλησία, ἐστόμωται δὲ παχεῖ σιδήρῳ κατ’ ἄκρον ἐς κριοῦ προτομήν, ἀφ’ οὗ καὶ καλεῖται, τετυπωμένος. καταιωρεῖται δὲ κάλοις μέσος ὥσπερ ἀπὸ πλάστιγγος ἑκατέρας δοκοῦ, σταυροῖς ἑκατέρωθεν ἑδραίοις ὑπεστηριγμένος, ἀνωθούμενος ὑπὸ πλήθους ἀνδρῶν ἐς τὸ κατόπιν, τῶν αὐτῶν πάλιν ἀθρόως ἐς τοὔμπροσθεν ἐπιβρισάντων, τύπτει τὰ τείχη τῷ προσανέχοντι σιδήρῳ· καὶ οὐδεὶς οὕτω καρτερὸς πύργος ἢ περίβολος πλατύς, ὃς κἂν τὰς πρώτας πληγὰς ἐνεγκεῖν κατισχύσειε· τῆς γὰρ ἐπιμονῆς κρατούσης, καθαιρεῖ τὰ τείχη.

π 2892 Προτόνιον: ἱματίδιον, ὃ ἱέρεια ἀμφιέννυται. ἐπιτίθεται δὲ ἀπὸ τῆς ἱερείας τῷ σφάττοντι. προτόνιον δὲ ἐκλήθη, ὅτι πρώτη Πανδώρα μετὰ τῶν ἀδελφῶν κατεσκεύασε τοῖς ἀνθρώποις τὴν ἐκ τῶν ἐρίων ἐσθῆτα.

π 2893 Πρότονος: ὁ προτεταμένος κάλως.

π 2894 Πρὸ τῶν ὅλων: πρότερος τῶν ὅλων. καὶ πάντα πράττων ἄνθ’ ὅλων πρὸ τῶν ὅλων.

π 2895 Προτρέπω: εὐκτικῶς παρακαλῶ. προτρόπαιοι γὰρ οἱ ἱκέται. Σοφοκλῆς. τοσαῦτά ς’, ὦ Ζεῦ, προτρέπω· καλῶ δ’ ἅμα πομπαῖον Ἑρμῆν. καὶ Προτρέπομαί σε· αἰτιατικῇ.

π 2896 Πρότριτα: τῇ τρίτῃ ἐπάνω ἡμέρᾳ. Θουκυδίδης ἐν β′. τὴν τρίτην πρὸ τῆς ἐκφορᾶς.

π 2897 Προτροπάδην: προθύμως, ἀμεταστρεπτί· ἢ εἰς τοὔμπροσθεν. Ἀγαθίας· παραδόντες δὲ τὰ νῶτα τοῖς πολεμίοις ἔφευγον προτροπάδην, ἀλκῆς ἁπάσης ἐπιλελησμένοι.

π 2898 Προτρυγαῖος.

π 2899 Προοίμιον: πρόλογος.

π 2900 Προὐγράφη: κατηγορήθη. Μάρκος τῶν εὖ γεγονότων, τὴν ἀξίωσιν ἀγορανόμος, προὐγράφη. εἶτα μέντοι λαθεῖν βουλόμενος ξυρεῖται τὴν κεφαλὴν καὶ τὸ γένειον, στολὴν Αἰγυπτίαν ἀναλαβών.

π 2901 Προὐκινδύνευεν: ὑπεραπέθνησκεν. ὁ δὲ προὐκινδύνευε τοῦ πλήθους οὐ στρατηγικῶς, ἀλλὰ στρατιωτικῶς. ἀντὶ τοῦ εὐτελῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 2902 Προὔκειτο καὶ Προὔθεντο: ἐπὶ τῶν τετελευτηκότων χρῶνται τῇ λέξει οἱ ῥήτορες, τῶν πρὸ τοῦ τεθάφθαι κειμένων ἐπὶ τῆς οἰκίας, παρόντων τῶν οἰκείων. Λυσίας ἐν τῷ πρὸς Γλαύκωνα· καὶ μὲν δὴ οὐδὲ τοῦτο ἂν ἔχοι Γλαύκων εἰπεῖν ἢ ἄλλος τις τῶν Δικαιογένους συγγενῶν, ὡς, ὅτε μὲν προὔκειτο, ὤκνουν καὶ ᾐσχύνοντο λόγους περὶ αὐτοῦ ποιεῖσθαι, ἐξενεχθέντος δὲ ἢ περὶ τῶν χρημάτων τινὰ μνείαν ἔχετε ἢ τὰς θυγατέρας ἀξιοῦτε διαιτᾶσθαι.

π 2903 Προὐμάχουν· γενικῇ.

π 2904 Προύνεικος: δρομαῖος, γοργός. φασὶ δὲ Ξενοκράτη, εἴ ποτε μέλλοι ἐς ἄστυ ἀπιέναι, τοὺς θορυβώδεις πάντας καὶ προυνείκους ὑποστέλλειν αὐτοῦ τῇ παρόδῳ.

π 2905 Προυνούστερος: ἀντὶ τοῦ προνοητικώτερος. Σοφοκλῆς.

π 2906 Προυπίνω· δοτικῇ.

π 2907 Προὔπινεν αὐτῷ· αὐτὸς δὲ πάλιν ἐκουφίζετο καὶ τὸν Δάμαν ἐπῄνει. καὶ προὔπινεν αὐτῷ καὶ μεστὸς ἦν ἐλπίδων ἐρωτικῶν.

π 2908 Προὖπτον: φανερόν.

π 2909 Προὐργιαίτατον καὶ Προὐργιαίτερον: ἀναγκαιότατον, προτιμότατον. θέσθαι προὐργιαίτερον τοῦ πρὸς Ῥωμαίους πολέμου τὴν ἐξ αὐτῶν παλαμήσασθαι σωτηρίαν. ὅπερ ἕπεται φύσει ἀνθρώπου ἐν τοῖς τελευταίοις κινδύνοις τὰ σφέτερα προὐργιαίτερα τιθεμένων, ἀνεχώρησαν.

π 2910 Προὐργιαίτερον: πρὸ παντὸς ἄλλου ἔργου γινόμενον.

π 2911 Προὐργιαίτερον: ἀναγκαιότερον. τὸ πρὸ τοῦ ἔργου αἱρετώτερον ἀναγκαιότερον· τὸ γὰρ προὖργόν ἐστιν οἷον πρόεργον. Πολύβιος· οὐδὲν προὐργιαίτερον ποιουμένου κατὰ τὸν βίον τοῦ κυνηγετεῖν. λέγεται δὲ καὶ πρὸ ἔργου. Ἀρριανός· μάλιστα δὲ φίλια τὰ κατὰ νώτου ἑαυτῷ τε καὶ τῇ στρατιᾷ καταλιπεῖν πρὸ ἔργου ἐτίθετο ὁ στρατηγός. ὁ δὲ αὐτοκέλευστος ἐτόλμα ἰέναι, τῶν πρὸς αὐτοκράτορος ἐπηγγελμένων προὐργιαιτέραν τὴν ἀπὸ τῆς τύχης στενοχωρίαν πεποιημένος.

π 2912 Προὔργου: πρὸ ἔργου, συμφέρον, πλέον. Ἰσοκράτης φησίν· ἵνα προὔργου τι γένηται. ἀντὶ τοῦ πλέον. προὔργου νενόμικα, καὶ τούτων κἀκείνων τὴν ἀμετρίαν φυγών, ὅσα προσῆκε ταῖς παλαιαῖς ἱστορίαις, ταῦτα προσαρμόσαι.

π 2913 Προυσίας ὁ βασιλεύς, εἰδεχθὴς ὢν κατὰ τὴν ἔμφασιν, καίπερ ἐκ συλλογισμοῦ βελτίων ὑπάρχων, ἥμισυς ἀνὴρ κατὰ τὴν ἐπιφάνειαν καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγεννὴς καὶ γυναικώδης. οὐ γὰρ μόνον δειλὸς ἦν, ἀλλὰ καὶ πρὸς τὰς κακοπαθείας ἀλλότριος καὶ συλλήβδην ἐκτεθηλυμμένος καὶ τῇ ψυχῇ καὶ τῷ σώματι παρ’ ὅλον τὸν βίον· ὅπερ ἥκιστα βούλονται περὶ τοὺς βασιλεῖς ὑπάρχειν ἅπαντες μὲν γάρ, μάλιστα δὲ τὸ τῶν Βιθυνῶν γένος. πολλὴ δέ τις ἀσέλγεια καὶ περὶ τὰς σωματικὰς ἐπιθυμίας αὐτῷ συνεξηκολούθει. παιδείας δὲ καὶ φιλοσοφίας καὶ τῶν ἐν τούτοις θεωρημάτων ἄπειρος εἰς τέλος ἦν, καὶ τοῦ καλοῦ, ὅ τι ποτέ ἐστιν, οὐδ’ ἔννοιαν εἶχε, Σαρδαναπάλου δὲ βάρβαρον βίον ἔζη καὶ μεθ’ ἡμέραν καὶ νύκτωρ· καὶ γὰρ οὖν ἅμα τῷ βραχείας ἐλπίδος τὸ τῶν βασιλευομένων πλῆθος λαβέσθαι, ἀμετάκλητον ὁρμὴν ἔσχεν εἰς τὸ μὴ μόνον ἀλλότρια φρονεῖν τοῦ βασιλέως, ἀλλὰ καὶ τιμωρίαν βούλεσθαι παρ’ αὐτοῦ λαμβάνειν.

π 2914 Προυσίας ὁ βασιλεύς· οὗτος μετὰ τὸ νικῆσαι τὸν Ἄτταλον, μετὰ τὸ παρελθεῖν πρὸς τὸ Πέργαμον, παρασκευασάμενος θυσίαν πολυτελῆ προσήγαγε πρὸς τὸ τέμενος τοῦ Ἀσκληπιοῦ καὶ βουθυτήσας καὶ καλλιερήσας τότε μὲν ἐπανῆλθεν εἰς τὴν παρεμβολήν, κατὰ δὲ τὴν ἐπιοῦσαν καταστήσας τὴν δύναμιν ἐπὶ τὸ Νικηφόριον τούς τε νεὼς ἅπαντας διέφθειρε καὶ τὰ τεμένη τῶν θεῶν ἐσύλησε καὶ τοὺς ἀνδριάντας καὶ τὰ λίθινα τῶν ἀγαλμάτων. τὸ δὲ τελευταῖον καὶ τὸ τοῦ Ἀσκληπιοῦ βαστάσας ἄγαλμα, περιττῶς ὑπὸ Φυλομάχου κατεσκευασμένον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπήνεγκεν ὡς αὐτόν, ᾧ τῇ πρότερον ἡμέρᾳ κατασπένδων ἐβουθύτει καὶ κατηύχετο, δεόμενος, ὅπερ εἰκός, ἵλεων αὐτῷ γενέσθαι καὶ εὐμενῆ κατὰ πάντα τρόπον. αἱ δὲ τοιαῦται διαθέσεις μανικαί· τὸ γὰρ ἅμα μὲν θύειν καὶ ἐξιλάσκεσθαι τὸ θεῖον, προσκυνοῦντα καὶ λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, ὅπερ εἴωθε Προυσίας ποιεῖν γονυπετῶν καὶ γυναικιζόμενος, ἅμα δὲ ταῦτα καὶ λυμαίνεσθαι καὶ διὰ τῆς τούτων καταφθορᾶς τὴν εἰς τὸ θεῖον ὕβριν διατίθεσθαι, πῶς οὐκ ἂν εἴποι τις θυμοῦ λυττῶντος ἔργα καὶ ψυχῆς ἐξεστηκυίας καὶ λογισμῶν;

π 2915 Προὔτυψαν: προήρξαντο.

π 2916 Προὔχειν: προέχειν. τί λέγειν ἢ τί πράττειν χρή, φράζε μοι. τέχνα γὰρ τέχνας ἑτέρας προὔχει.

π 2917 Προὔχοντο: προέβαλον. οὕτως καὶ Θουκυδίδης ἐχρήσατο ἐν αʹ ἱστοριῶν, λέγων· εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν, ὅπερ μάλιστα προὔχονται. ἀντὶ τοῦ προβάλλουσι, προτείνουσι.

π 2918 Πρόφερε: ὀνείδιζε, ὑπομίμνησκε. Ὅμηρος· μή μοι δῶρ’ ἐρατὰ πρόφερε χρυσῆς Ἀφροδίτης. καὶ Αἰλιανός· καὶ τὸ ἐλλειφθὲν κατὰ τὰς παρθένους προφέρει αὐτοῖς. καὶ αὖθις Ἡσίοδος· Ἠώς, ἣ προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου. ἀντὶ τοῦ πρωῒ λίαν.

π 2919 Προφερέστατον: βέλτιον.

π 2920 Προφερεῖς: οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

π 2921 Προφέρω· αἰτιατικῇ.

π 2922 Προφητεύω· ὁ εὐαγγελίστης Ματθαῖός φησι· κύριε, κύριε, οὕτω τῷ ὀνόματι ἐπροφητεύσαμεν. μή πως ἐσφαλμένως γέγραπται.

π 2923 Προφητεία: ἡ μέν ἐστι πνευματική, ἡ δὲ διαβολική, λέγονται γὰρ καὶ παρ’ ἐκείνοις ὁμωνύμως προφητεῖαι, ἡ δὲ μέση τούτων φυσική τις ἢ τεχνική, ἡ δὲ κοινὴ καὶ δημώδης. τῆς μὲν οὖν πνευματικῆς προηγουμένως μὲν τοῖς ἁγίοις μέτεστι· δι’ οἰκονομίαν δὲ καὶ τοῖς μὴ τοιούτοις, ὡς τῷ Φαραῷ καὶ τῷ Βαλαὰμ καὶ Καϊάφᾳ. τῆς δὲ διαβολικῆς τοῖς τούτου μόνον θεραπευταῖς· αὐτοῦ γὰρ οἱ ἀλευρομάντεις καὶ κριθομάντεις καὶ ἡ διὰ δρυὸς Πυθία καὶ ἡ Δωδώνης ἱέρεια καὶ ἡ διὰ σπλάγχνων καὶ πτησέων ὀρνέων καὶ κλαγγῶν συμβόλων τε καὶ πταρμῶν καὶ κληδόνων καὶ βροντῶν μυῶν τε καὶ γαλῆς καὶ τρισμῶν ξύλων καὶ ὤτων ἤχων καὶ παλμῶν σώματος καὶ δι’ ὀνομάτων νεκρῶν τε καὶ ἄστρων καὶ ὑδάτων καὶ ἄλλων μυρίων. ἡ γὰρ δι’ ὀνείρων καὶ παρ’ ἡμῖν, διὰ κατοχῆς μὲν καὶ αὕτη, ἡ δὲ πρόγνωσις αὐτοῖς οὐ δι’ ἀρετῆς, ὡς ἡμῖν, ἀλλὰ διά τινος κακοτεχνίας. καὶ ὁ μὲν θεὸς προλέγων καὶ τὴν λύσιν ὑποτίθεται, καὶ τὸ πέρας μετὰ πάσης ἀκριβείας γίνεται, ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς ἔν τισιν ἀληθεύουσιν, ἐν τοῖς πλείστοις διαμαρτάνοντες. φυσικὴ δὲ ἡ τῶν ἀλόγων· χελιδόνες γὰρ καὶ γέρανοι καὶ μύρμηκες ἐπιόντος χειμῶνος αἰσθάνονται, ἐχῖνοι τε καὶ ἀλκυόνες, φύσει τοῦτο κτησάμενοι. ἡ δὲ τεχνικὴ προφητεία παρὰ ἰατροῖς καὶ συμβόλοις καὶ κυβερνήταις· οἱ μὲν γὰρ ἀρρωστίας καὶ τὰς λύσεις τούτων προλέγουσιν, οἱ δὲ πνευμάτων μεταβολάς, οἱ δὲ τοῦ μέλλοντος συνέσει καταστοχαζόμενοι. ἡ δὲ κοινὴ καὶ δημώδης τοῦ μέλλοντος γνῶσις, οἷον ὅτι μετὰ μῆνας γʹ ὁ χειμὼν γίνεται· πάντες γὰρ ἔχουσι τὰς ἐκ περιόδων προρρήσεις. οὐδὲν οὖν μέγα καὶ δαίμονας πρόγνωσιν ἔχειν, ὅπου γε καὶ μύρμηκες ἔχουσι, καὶ δεινοὶ ἄνθρωποι τοῦ μέλλοντος καταστοχασταί εἰσιν, ἀλλ’ οὐχ ὡς πάντως ἢ πάντα εἰδέναι, ἐπεὶ καὶ ὁ διάβολος προεφήτευσε τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, καὶ ἐγένετο. καὶ ὁ Βαλαὰμ προεῖπεν, ὅτι πόρνας στῆσον, καὶ προδοθήσεται δι’ αὐτὰς ὁ Ἰσραήλ, καὶ γέγονεν οὕτως. ὅπερ στοχασμός ἐστι μᾶλλον ἢ πρόρρησις· οὐδὲν γὰρ παράδοξον αἱ τοιαῦται προφητεῖαι ἔχουσι. προφητείας δὲ ἴδιον, τὸ τὴν γλῶτταν παρέχειν ὑπουργὸν τῇ τοῦ πνεύματος χάριτι.

π 2924 Προφθάνω· αἰτιατικῇ.

π 2925

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Προφορουμένω: δεῦρο κἀκεῖσε πορευόμενοι εἰς τἀναντία. προφορεῖσθαι γὰρ λέγεται τὸ παραφέρειν τὸν στήμονα τοῖς διαζομένοις. Ἀριστοφάνης Ὄρνισι.

π 2926 Πρόφρων: πρόθυμος, φρόνιμος.

π 2927 Προφυλακὴ τῷ κυρίῳ: εἰς τέσσαρας φυλακὰς διαιρεῖται ἡ νύξ, ἑκάστη τρεῖς ὥρας ἔχουσα.

π 2928 Προχαριστήρια: ἡμέρα ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες ἀρχομένων καρπῶν φύεσθαι, λήγοντος ἤδη τοῦ χειμῶνος, ἔθυον τῇ Ἀθηνᾷ. τῇ δὲ θυσίᾳ ὄνομα Προχαριστήρια. Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερωσύνης· τὴν τοίνυν ἀρχαιοτάτην θυσίαν διὰ τὴν ἄνοδον τῆς θεοῦ, ὀνομασθεῖσαν δὲ Προχαριστήρια, διὰ τὴν βλάστησιν τῶν καρπῶν τῶν φυομένων.

π 2929 Προχειρίζω.

π 2930 Πρόχειρον: τὸ κατημαξευμένον, τὸ πᾶσι γνώριμον. αἰνίττεται κατὰ τὸ πρόχειρον.

π 2931 Πρόχειρος: ἀκρατής. ὁ δὲ πρόχειρος ὢν τὴν γνώμην διὰ τὴν ἐμπειρίαν οὐ μέλλειν ἔφη δεῖν, ἀλλ' ἀπαντᾶν καὶ ναυμαχεῖν τοῖς πολεμίοις. καὶ ὁ ἕτοιμος λέγεται πρόχειρος.

π 2932 Πρόχειρος: ὁ ἁπλοῦς καὶ ἀφύλακτος. Πολύβιος· ἀλλ' ἔστιν αἴτιον τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ' Ἐπιχάρμῳ καλῶς εἰρημένον, νῆφε καὶ μέμνησο ἀπιστεῖν· ἄρθρα ταῦτα 〈τῶν〉 φρενῶν.

π 2933 Προχειροτονία: ἔοικεν Ἀθήνησι τοιοῦτόν τι γίγνεσθαι. ὁπόταν τῆς βουλῆς βουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη, πρότερον γίνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ, πότερον δοκεῖ περὶ τῶν προβουλευθέντων σκέψασθαι τὸν δῆμον ἢ ἀρκεῖ τὸ προβούλευμα.

π 2934 Πρόχνυ: ἐπὶ γόνυ.

π 2935 Προχοαί: αἱ τῶν ποταμῶν ἐξοδευτικαὶ ἀφέσεις εἰς τὴν θάλασσαν· καὶ ἡ παντὸς ὕδατος ἐκροή.

π 2936 Προχόῳ: τῇ ἐπιχύσει, καὶ ἀγγείῳ τινὶ εἰς τοῦτο ἐπιτηδείῳ, κωθωνοειδεῖ. ἐν Ἐπιγράμμασι· Πριάπῳ νεβρίδα καὶ χρυσέην τήνδε θέτο προχόην.

π 2937 Πρόχους: ξέστης, τὸ μέτρον. καὶ ἐμβαλὼν ἐς πρόχουν ἀργυρᾶν τὰ ὀστᾶ ἐξέπεμψε τῷ παιδὶ τοῦ πατρὸς κειμήλιον ἔχειν.

π 2938 Πρόχυσις: παρὰ Ἡροδότῳ τὸ ἀποσπεῖσαι.

π 2939 Πρῴ: οὕτω μονοσυλλάβως. ἔτι ὄρθρου βαθέος. ἴσον τῷ ἐν ὥρᾳ. τοῦ πρωΐ συναίρεσίς ἐστι τὸ πρῴ, διὸ ὀξύνεται· τὸ δὲ πρῷν περισπᾶται. οὐ πρῷν μὲν ἡμῖν ὁ τραγῳδὸς ἤγειρε. Καλλίμαχος.

π 2940 Πρῷ: μονοσύλλαβον. σημαίνει δὲ τὸ πρὸ καιροῦ, καὶ τὸ ἕωθεν. Ἀριστοφάνης· λουσάμενος πρῴ. μέλλω γὰρ ἑστιᾶν γάμους. ὃς ἂν μὴ πρῴ πάνυ τοῦ κνέφους ἥκῃ κεκονιμένος. μονοσυλλάβως.

π 2941 Πρῴ. καὶ Πρῴων· Ἀριστοφάνης· σικύων πρῴων. οἱ γὰρ πρώϊμοι σίκυοι καλοὶ καὶ ἀβλαβεῖς. ὅτι δὲ καλοὶ οἱ πρώϊμοι σίκυοι, δηλοῖ καὶ ἡ παροιμία· ἀρχομένων σικύων καὶ ληγουσῶν κολοκυνθῶν.

π 2942 Πρωθήβας· Ἀππιανός· ὁ δὲ φειδοῖ τῶν ἀνδρῶν τῶν ἐκ τοῦ πολέμου ἐληλυθότων κατέλεγε πρωθήβας, οὐ πρὶν πολέμου πεπειραμένους, ἐς β' τέλη.

π 2943 Πρωθήβης: ἄρτι ἀκμάζων, νέος.

π 2944 Πρωΐ: παρὰ τῇ θείᾳ γραφῇ αἱ τῶν συμφορῶν μεταβολαί. Δαβίδ· ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, κύριε. Πρωῒ δὲ ἐστὶ πᾶν τὸ διάστημα τὸ μετὰ τὴν ἀλεκτοροφωνίαν. ὅτε δὲ λέγει, ἀναστὰς πρωΐ, ὡς ἂν μὴ ἐναντία δόξῃ λέγειν, ἀδήλου τῆς ἀναστάσεως καὶ ἀγνώστου οὔσης, στικτέον, ἀναστὰς δέ· καὶ οὕτως ἐπαγαγεῖν· πρωΐ, πρώτῃ σαββάτων, ἐφάνη Μαρίᾳ.

π 2945 Πρωΐ, πρωΐ: οὕτως ὁ Δαβὶδ τὸ ταχὺ καὶ ὀξὺ προσηγόρευσε. βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωΐ, πρωΐ.

π 2946 Πρωΐα: ἡ πρωϊνὴ κατάστασις.

π 2947

Πρωϊαίτερον: θᾶττον. ἢ ἀντὶ τοῦ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

π 2948 Πρωϊζόν: πρὸ ὀλίγου.

π 2949 Πρώϊμος, Πρωϊνόν. καὶ πρωϊνῶς καὶ Πρώϊον.

π 2950 Πρωκτός: ὁ κόλος. παρὰ τὸ προωθεῖν τὰ τῆς γαστρός. καὶ παροιμία· εἰς πρωκτὸν κυνὸς βλέπε. τοῦτο ἐπέλεγον τοῖς ὀφθαλμιῶσιν. Ἀριστοφάνης Ἀχαρνεῦσι· τοῖς ὀστίνοις φυσᾶτε τὸν πρωκτὸν κυνός. καὶ αὖθις Ἀριστοφάνης· Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ· οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων οἶδε τί πρωκτὸς βούλεται χεζητιῶν. ὦ πότνι᾽ Εἰλείθυια, μή με περιΐδῃς διαρραγέντα, μηδὲ βεβαλανωμένον. ἀντὶ τοῦ κατεχόμενον ὑπὸ τῆς κόπρου. ὁ δὲ Ἀντισθένης ἰατρὸς θηλυδρίας. περὶ Κλέωνός φησιν Ἀριστοφάνης· πρωκτὸν δ᾽ εἶχε καμίνου. ὁ κόλος. παρὰ τὸ προϊέναι.

π 2951 Πρωκτὸς λουτροῦ περιγίνῃ: παροιμία, ὅταν τις μὴ δύνηται κἂν ἀπονίψασθαι, ἀλλὰ ἡ κοιλία ἐπιφέρηται. ἐπὶ τῶν ἀνωφελῶν οὖν καὶ εἰκῇ πραττομένων ἐλέγετο. καὶ Ἀριστοφάνης· δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενὸν ὑπὸ δεξιότητος τῆς ἐμῆς. χὠ πρωκτὸς οὑμὸς τουτίγε σοφίζεται.

π 2952 Πρωκτοτηρεῖν: τοὺς πρωκτοὺς τῶν πορνευόντων τηρεῖν. ἀπείρητο δὲ τοῖς τοιούτοις δημηγορεῖν.

π 2953 Πρωλαίτης.

π 2954 Πρῶνες: ὀρῶν ἐξοχαί, βουνοί. ἐν Ἐπιγράμμασι· ὅς τε καὶ Οἴτην καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης. καὶ αὖθις· λάσιον παρὰ πρῶνα Χαρικλῆς ἄνθετο τράγον. καὶ αὖθις· εὐδένδρου πρῶνας ἐβουνοβάτει. λέγεται δὲ καὶ Πρεών, πρεόνος. αἱ τόσσον ὕδωρ εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος.

π 2955 Πρώρα: τὸ ἔμπροσθεν τῆς νεώς. καὶ Πρώραθεν. καὶ Πρωράτας τῆς νηός· καὶ Πρωρεύς.

π 2956 Πρωταγωνιστήν. πρῶτον ἀγωνίζεσθαι.

π 2957 Πρωταγωνιστῶ· γενικῇ.

π 2958 Πρωταγόρας, Ἀβδηρίτης, υἱὸς Ἀρτέμωνος ἢ καὶ Μαιανδρίδου ἢ Νεανδρίου. τινὲς δὲ αὐτὸν καὶ Τήϊον ἔγραψαν. οὗτος πρότερον ἦν φορτοβαστάκτης, ἐντυχὼν δὲ Δημοκρίτῳ ἠράσθη λόγων καὶ φιλοσοφήσας ἐπὶ ῥητορείαν ἐτράπη. καὶ ἐπεκλήθη πρῶτος οὗτος σοφιστής, πρῶτος τε οὗτος τοὺς ἐριστικοὺς λόγους εὗρε καὶ ἀγῶνα λόγων ἐποιήσατο καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ′· διὸ καὶ ἐπεκλήθη Λόγος ἔμμισθος. διδάσκαλος δὲ γέγονε καὶ τοῦ ῥήτορος Ἰσοκράτους. διεῖλέ τε πάντα λόγον πρῶτος οὗτος εἰς τέσσαρα· εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν· μετὰ δὲ τοῦτον ἕτεροι εἰς ζ′ διεῖλον ταῦτα· διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, εἰσαγγελίαν, εὐχωλήν, κλῆσιν. Ἀλκιδάμας δὲ τέσσαρας εἶναί φησιν ἰδέας λόγων· φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν. τοῦ δὲ Πρωταγόρου τὰ βιβλία ὑπὸ Ἀθηναίων ἐκαύθη, διότι λόγον ποτὲ εἶπεν οὕτως ἀρξάμενος· περὶ θεῶν οὐκ ἔχω εἰδέναι, οὔτε ὥς εἰσιν, οὔτε ὡς οὐκ εἰσί. καὶ πρεσβύτερός ἐστι Πλάτωνος τοῦ φιλοσόφου· διδάσκαλος δὲ Προδίκου τοῦ Κείου καὶ ἄλλων πολλῶν.

π 2959 Πρῶτα στοιχεῖα: ὁ ἀλφάβητος. καὶ ταῦτα μέντοι κακὰ κακῶς. περὶ γραμμάτων φησὶν, ὅτι οὐδὲ αὐτὰ καλῶς διὰ δυσγένειαν.

π 2960 Πρῶτα φύσει αἱ ἀρχαί, ἔσχατα δὲ φύσει τὰ πολὺ τῶν ἀρχῶν ἀφεστῶτα. ἔστι δὲ ταῦτα προβλήματα τοῖς μὲν ἐπιχειροῦσι χαλεπὰ δειχθῆναι, τοῖς δὲ ἀποκρινομένοις ῥᾴδια· τὰ μὲν γὰρ πρῶτα τὸ χαλεπὸν ἔχει, ὅτι μὴ οἷόν τε αὐτὰ δι᾽ ἄλλων δεικνύναι, τῷ τὰ μὲν δεικνύμενα δείκνυσθαι διὰ πρώτων, τῶν δὲ πρώτων μὴ εἶναι τι πρῶτον. γίνεται γὰρ ἡ τῶν ἀρχῶν γνῶσις οὐ δι᾽ ἀποδείξεως, ἀλλὰ δι᾽ ὁρισμοῦ. ὡρίσθαι γὰρ δεῖ πρῶτον τὴν ἀρχήν, τί ποτέ ἐστι, καὶ τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὴν ὑποθέμενος εἶναι χρῆσθαι αὐτῇ εἰς τὴν δεῖξιν τὴν μετ' αὐτήν. διὰ τοῦτο δυσεπιχείρητοι αἱ ἀρχαὶ καὶ οὐ ῥᾴδιαι δειχθῆναι. τὰ δὲ ἔσχατα, ὅτι διὰ πολλῶν μέσων δείκνυται. πρῶτον δὲ λέγεται σχῆμα ἐπὶ τῶν συλλογισμῶν, οὐχ ὡς αἴτιον, οὐδὲ ὡς γεννητικὸν ἐκείνων, ἀλλὰ τῇ τάξει καὶ τελειότερον οὐ τῷ γεννᾶν ἐκεῖνα καὶ παράγειν, ἀλλὰ τῷ πλέον δύνασθαι καὶ ταῖς ἀποδεικτικαῖς οἰκειότατον ἐφόδοις εἶναι.

π 2961 Πρωτεσίλαος: ὄνομα κύριον. καὶ Πρωτεσίλεως.

π 2962 Πρωτείων.

π 2963 Πρωτογένης, ζωγράφος, Ξάνθιος ἐκ Λυκίας· ὁ κατὰ τὴν γραφικὴν διαβόητος ἐπιστήμην, ὁ τὸ ἐν Ῥόδῳ Διονύσιον ἱστορήσας, τὸ ξένον καὶ θαυμαστὸν ἔργον, ὃ καὶ Δημήτριος ὁ Πολιορκητὴς μεγάλως ἐθαύμασεν, ὅτε τὴν Ῥόδον ἐπολιόρκησεν ὅλοις ἐν δυσὶν ἔτεσι, χιλίας ναῦς ἐπαγόμενος καὶ στρατὸν ὁπλίτην μυριάδας ὑπὲρ τὰς πέντε καὶ πεντακισχιλίους. Περὶ γραφικῆς καὶ σχημάτων βιβλία β′.

π 2964 Πρωτοκλισία: ἡ πρώτη καθέδρα.

π 2965 Πρωτόλεια: ἡ πρώτη λεία.

π 2966 Πρωτόλειον: ἀπαρχήν.

π 2967 Πρωτολογία. πάσης κατηγορίας αὐτοῦ ἀποφαίνει πρωτολογίαν.

π 2968 Πρῶτον ἀποστόλους, δεύτερον προφήτας· ἐρώτησις· πῶς τίθησι πρώτους τοὺς ἀποστόλους ὁ Παῦλος; πρώτους κατὰ ἀναλογίαν τῶν ἀγώνων καὶ τὴν παρὰ τοῦ θεοῦ δόξαν, ἔσχατοι δὲ διὰ τὸ εἰς τὰ τέλη τῶν αἰώνων καταντῆσαι. ὥστε εἶναι αὐτοὺς καὶ πρώτους καὶ ἐσχάτους· ἵνα καὶ ἐν τούτῳ τὸν διδάσκαλον μιμήσωνται, λέγοντα· ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος.

π 2969 Πρώτονος: πρῶτος νέος.

π 2970 Πρωτόνεω: οἱ πρῶτον πλέοντες, ἢ πρῶτον εἴς τινα τόπον καταπεπλευκότες. Πρωτόνεως καὶ ἀρχένεως καὶ ἄλλα πολλὰ ὁμοίως· καὶ περίνεως Θουκυδίδης α′.

π 2971 Πρωτοπαγῆ: πρώτως πεπηγότα.

π 2972 Πρωτόπειρος· ὁ δὲ νέος ὢν κομιδῇ καὶ πρωτόπειρος τῶν κατὰ πόλεμον ἔργων καὶ νεωστὶ γενόμενος τῆς ἐπὶ πλεῖον προαγωγῆς φιλόνεικος καὶ φιλότιμος καὶ φιλόπρωτος ἦν.

π 2973 Πρωτοπείρωνος.

π 2974 Πρωτοπορία.

π 2975 Πρωτοπραξία: τὸ πρῶτον ἀπαιτούμενον, τὸ πρῶτον εἰσπραττόμενον.

π 2976 Πρώτους: ἀκμάζοντας, νέους.

π 2977 Πρώτῳ ποδί: ὃ οἰωνιζόμενοι λέγειν εἰώθασι.

π 2978 Πρωτότοκος: ὁ πρῶτος τεχθείς. Πρωτοτόκος δὲ ἡ θεοτόκος.

π 2979 Προῖκα: δωρεάν, ἄνευ μισθοῦ. καὶ τοπικὸν ἐπίρρημα ἀντὶ τοῦ ὅπου. τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι πεπορισμένα. ἀντὶ τοῦ ἄνευ κόπου.

π 2980 Προικίας: ὄνομα κύριον.

π 2981 Προίκιος: ἄνευ μισθοῦ. προίκιος ἀνθρώποισι κελευθήτῃσιν ἀοιδός. ὁ τέττιξ φησὶν ἐν Ἐπιγράμμασι.

π 2982 Προικόνησος.

π 2983 Προικός: δόσεως· ἀντὶ τοῦ δωρεᾶς. πᾶν γὰρ δῶρον οὕτως καλεῖ ὁ ποιητής. ἡ εὐθεῖα Προίξ.

π 2984 Πρύλις: ὁ πεζός.

π 2985

Πρύμναν ἐκρούοντο: πρύμναν ἀνακρούεσθαι ἐστὶ τὸ κατ’ ὀλίγον ὑπαναχωρεῖν, μὴ στρέψαντας τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν, ἵνα δόξωσι μὴ φανερῶς φεύγειν, κατ’ ὀλίγον ὑπαπιόντες, ἵνα μὴ τὰ νῶτα τοῖς πολεμίοις δόντες τιτρώσκωνται.

π 2986 Πρύμνην: κάτωθεν, ἐκ ῥιζῶν.

π 2987 Πρυμνήσιον: τὸ ἀπόγειον σχοινίον.

π 2988 Πρυμνήτης κάλως.

π 2989 Πρυμνόν: τὸ ἔσχατον.

π 2990 Πρυμνώρειαν: τὸ κάτω μέρος τοῦ ὄρους.

π 2991 Πρυτανεύεται: διοικεῖται. τῇ τοῦ θεοῦ ῥοπῇ πρυτανεύεται τὰ ἀνθρώπεια.

π 2992 Πρυτανεύοντα: κυρίως μὲν ἀντὶ τοῦ πρυτανέα ὄντα. ἀντὶ δὲ τοῦ διοικοῦντα Δημοσθένης ἐν Φιλιππικοῖς.

π 2993 Πρυτανευούσης· τῆς τοῦ χωρίου φύσεως οὐκ ἐφιείσης σφίσι περαιτέρω ἰέναι, ἀλλὰ τὸ τῆς διώρυχος μῆκος συμμετρούσης αὐτοῖς καὶ πρυτανευούσης εἰκότως. καὶ αὖθις· οἱ δὲ πρέσβεις ἧκον τοῦ πρυτανεύσειν Πάρθοις τε καὶ Ῥωμαίοις τὰς διαλλαγάς.

π 2994 Πρυτανεύω· αἰτιατικῇ.

π 2995 Πρυτανεύσητε: σκέψησθε, πράξητε, χρηματίσητε· πάντα γὰρ ὑπὸ τῶν πρυτάνεων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης.

π 2996 Πρυτανεία: ἐκτεταμένως μὲν καὶ θηλυκῶς ἀριθμός τις ἡμερῶν· οὐδετέρως δὲ σαφῶς μὲν οὐδεὶς εἶπε τί δηλοῖ. τινὲς δὲ ἀργύριόν τι ἔφασαν εἶναι, ὃ κατετίθεσαν οἱ δικαζόμενοι, ἐξ ὧν τὸ δικαστικὸν ἐδίδοτο τοῖς ἑξακισχιλίοις. πρυτανεῖαι δὲ ὁ τῶν ἡμερῶν ἀριθμός. δέκα ἐγίνοντο κατ’ ἐνιαυτὸν, ὅτι καὶ δέκα αἱ φυλαί. ἐνιαυτὸν δὲ οἱ Ἀθηναῖοι τὸν σεληνιακὸν ἦγον· ἐπέβαλε δὲ ἑκάστη φυλὴ τῶν δέκα λε′ ἡμέρας, καὶ ἐπερίττευον ἐκ τοῦ σεληνιακοῦ ἐνιαυτοῦ ἡμέραι δ′, ἃς ἐπεμέριζον ταῖς πρώταις λαχούσαις πρυτανεύειν τέσσαρσι φυλαῖς. καὶ τῶν μὲν τεσσάρων πρῶτον ἑκάστη εἶχε τὴν πρυτανείαν ἀπαρτιζομένην εἰς λϛ′ ἡμέρας, αἱ δὲ λοιπαὶ ϛ′ ἀνὰ λε′. Πρυτανείας οὖν ἐστιν ἀριθμὸς ἡμερῶν, ἤτοι λϛ′ ἢ λε′. καὶ ἑκάστη φυλὴ πρυτανεύει. παρὰ δὲ τοῖς ἄλλοις Ἀττικοῖς πρυτανεῖα ἀργύριον, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων.

π 2997 Πρυτανεῖα: τὰ διδόμενα ἀπὸ τῶν δικαζομένων ἐν τῷ δημοσίῳ ἀργύρια. πρυτανεῖα, μέταλλα, ἀγοράς, λιμένας, μισθούς, δημιόπρατα, τούτων πλήρωμα τάλαντ’ ἐγγὺς δισχίλια.

π 2998 Πρυτανεῖα: πρόσοδος εἰς τὰ δημόσια κατατασσομένη, ἣν οἱ δικασάμενοί τισι καὶ ἡττηθέντες κατέβαλλον, ὡρισμένην ζημίαν κατατιθέντες ἕκαστος.

π 2999 Πρυτανεῖον: θεσμοθέτιον, θόλος. παρὰ δὲ τοῖς Ἀθηναίοις οἰκίσκος δημόσιος, ἔνθα ἐσιτοῦντο δημοσίᾳ τῆς τοιαύτης τιμῆς παρ’ αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν· ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδοντο χάριν. ἢ πυρὸς ταμεῖον, ἔνθα ἦν ἄσβεστον πῦρ, καὶ ηὔχοντο. Ἀριστοφάνης Νεφέλαις· πᾶς γάρ τις ὀμνύς, οἷς ὀφείλων τυγχάνω, θείς μοι πρυτανεῖ’, ἀπολεῖν μέ φησι, κἀξολεῖν. τὰ παρὰ Ῥωμαίοις καλούμενα σπόρτουλα. τὰς γὰρ δεκάτας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτάνεσιν εἰσῆγον τοὺς χρεώστας.

π 3000 Πρυτάνεις: τὸ δέκατον μέρος τῆς βουλῆς τῶν φ′. ν′ ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλοις αἱ ι′ φυλαὶ κλήρῳ λαχοῦσαι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. διαπιστοῦντες δὲ οἱ πρυτάνεις ἤδη τῷ

Φιλίππῳ διὰ τὴν περὶ τὰ Κρητικὰ κακοπραγμοσύνην καὶ τότε Ἡρακλείδην ὑπώπτευον ἐγκάθετον εἶναι.

π 3001 Πρύτανις: διοικητής, προστάτης, φύλαξ, βασιλεύς, ἄρχων, ταμίας, ἔξαρχος.

π 3002 Πτάμενος: διελθών.

π 3003 Πτανῶν· ζήτει ἐν τῷ ἄποθεν.

π 3004 Πταρμός· Ἀριστοφάνης· κᾆτα πῶς οὐκ ἔπταρον; ἀντὶ τοῦ οὐκ ᾐσθόμην· ὁ πταρμὸς γὰρ κεφαλῆς αἴσθησις· ἐπεὶ οἱ θιγόντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πτάρνυνται ἢ ὀσφραίνονται προσενεγκόντες. οὕτω, φησίν, ἥψατό μου πληγή, ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος.

π 3005 Πταίειν· δοτικῇ. προσκρούειν. καὶ παροιμία· μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον πταίειν, ἔχοντα καιρὸν ὁμολογούμενον.

π 3006 Πτελέα: εἶδος δένδρου.

π 3007 Πτερίνη. καὶ πτερίναν ῥιπίδα. πρὸς τὸ λαθεῖν καὶ μηδὲν παθεῖν τοὺς ἐνεδρεύσαντας εὐφυέστεροι τυγχάνουσιν ὄντες οἱ ψιλοὶ καὶ ἐπίπεδοι τόποι τῶν ὑλωδῶν διὰ τὸ δύνασθαι ἐκ πολλοῦ προορᾶν πάντας τοὺς ἐνεδρεύοντας, εἶναι δ’ ἐπιπροσθήσεις ἱκανὰς ἐν τοῖς πλείστοις τόποις. τὸ γὰρ τυχὸν ῥεῖθρον μετὰ βραχείας ὀφρύος, ποτὲ δὲ κάλαμοι καὶ πτέρεις καὶ τὸ γένος ἀκανθῶν, οὐ μόνον πεζοὺς ἀλλὰ καὶ ἱππεῖς δύναται κρύπτειν, ἐὰν βραχέα τις προνοηθῇ τοῦ τὰ μὲν ἐπίσημα τῶν ὅπλων ὕπτια τιθέναι πρὸς τὴν γῆν, τὰς δὲ περικεφαλαίας ὑποτιθέναι τοῖς ὅπλοις.

π 3008 Πτερίνῳ: πτερωτῷ. Πολύβιος· ἐπικοσμοῦνται οἱ Ῥωμαῖοι πτερίνῳ στεφάνῳ, πτεροῖς φοινικίοις ἢ μελαινόρθοις τρισίν, ὡς πηχυαίοις τὸ μέγεθος ὧν προστεθέντων καὶ κορυφὴν ἅμα τοῖς ἄλλοις ὅπλοις ὁ μὲν ἀνὴρ φαίνεται διπλάσιος ἑαυτοῦ κατὰ τὸ μέγεθος, ἡ δὲ ὄψις καλὴ καὶ καταπληκτικὴ τοῖς ἐναντίοις.

π 3009 Πτέρνα: ὁ δόλος. καὶ ἡ ἐπιβουλή. καὶ Πτερνίζω, τὸ καταβάλλω. ἐκ μεταφορᾶς τῶν περὶ τάχους ἀγωνιζομένων, καὶ τῇ πτέρνῃ τοὺς συνθέοντας προσπταίειν ὁμοῦ καὶ πίπτειν μηχανωμένους. ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο.

π 3010 Πτερνίζει: ἀπατᾷ, ἢ λακτίζει.

π 3011 Πτεροδόνητος: πτεροῖς πληχθείς.

π 3012 Πτερόεντα: ταχῆ, κοῦφα.

π 3013 Πτερόεντι: ταχεῖ. ταῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικότι. ἡ δὲ ὅλη σύστασις, ὅτι ἐκ τοῦ πτεροῦ τοῦ Ἔρωτος τὰ ὄρνεά ἐστιν. ἄτοπος δὲ καὶ ἀπίθανος ἡ γενεαλογία. Ἀριστοφάνης Ὄρνισι. καὶ Πτερόεις, ὁ ἐπτερωμένος.

π 3014 Πτεροφοίτωρ. τάχους ὡς ἔχει τις πτεροφοίτορος ἀτεχνῶς ἐς τὸν ὑπερουράνιον ἱέμενον τόπον, ὅπου τὸ τῶν ἐπτερωμένων νέμεται γένος.

π 3015 Πτερωτὰ ζῷα: ἀετός, ἀλεκτρυών, καὶ τὰ ἄλλα τὰ γινωσκόμενα πᾶσι.

π 3016 Πτέρυγες περιστερᾶς: αἱ τοῦ πνεύματος δωρεαί. ταύτης δὲ τὰς μὲν πτέρυγας περιηργυρῶσθαι, τὰ δὲ μετάφρενα κεκοσμῆσθαι χρυσίῳ. τὰ μὲν γὰρ ἁπλούστερα καὶ λευκότερα τοῖς ἁπλουστέροις, τὰ δὲ βαθύτερα τοῖς ἐντελεστέροις. τὰ γὰρ μυστήριά μου ἐμοὶ καὶ τοῖς ἐμοῖς.

π 3017 Πτερυγίζειν: ἀντὶ τοῦ μηδὲν ἀνύειν. ἀπὸ τῶν ἐπιβαλλομένων πέτεσθαι νεοσσῶν. Ἀριστοφάνης Πλούτῳ. ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. ἀντὶ τοῦ θορυβῇ. τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικόν. ἢ κοῦφα λαλεῖς. ἢ ματαιοπονεῖς. ἀπὸ μεταφορᾶς τῶν νεοσσῶν τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας. ἢ μάταια διαλέγῃ. ἀπὸ τῶν νεοττῶν, οἳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πειράζουσι μὲν τὰς πτέρυγας, ἵπτασθαι δὲ οὐ δύνανται. οὕτω καὶ σὺ θέλεις μὲν ἀντειπεῖν καὶ πειράζεις, ἀνύεις δὲ οὐδέν.

π 3018 Πτερυγίζων: πετόμενος. Ἀριστοφάνης περὶ Μάγνητος, ὅτι Ὄρνιθας ἐποίησε δρᾶμα καὶ Ψῆνας καὶ Λυδούς.

π 3019 Πτερύγιον: ἀκρωτήριον.

π 3020 Πτερυλλίδων: τῶν ἀκρίδων. παρὰ τὸ τέσσαρα ἔχειν πτερά. ὀρταλίχων δέ τινες τῶν ἀλεκτρυόνων, κατὰ τὴν Βοιωτῶν διάλεκτον.

π 3021 Πτείρω.

π 3022 Πτῆμα: πτῆσις οἰωνῶν. περιφερὲς δὲ ἦν τὸ πτῆμα τῶν οἰωνῶν.

π 3023 Πτηνόν: τὸ ὄρνεον.

π 3024 Πτήσσει: πτοεῖται. καὶ Πτήξωμεν, κρυβῶμεν. κυρίως δὲ πτήσσειν ἐστὶ τὸ φεύγειν καὶ φοβεῖσθαι. ἀλλ’ ἐκποδὼν πτήξωμεν. Ἀριστοφάνης. Πτίσσω δὲ τὸ τύπτω.

π 3025 Πτῆσις τῶν ὀρνίθων.

π 3026 Πτῆται: πέτεται. καὶ Πτητικὰ ζῷα, τὰ πετόμενα.

π 3027 Πτίλον: πτερὸν ἁπαλώτερον. καὶ Ἄπτιλα, τὰ ἀπτέρωτα. εἰώθασι δὲ οἱ δυσεμεῖς πτερῷ χρῆσθαι πρὸς τὸ ἐξεμέσαι. τῶν πτερῶν τὰ μὲν καλεῖται πτίλα, τὰ δὲ πτερά, τὰ δὲ ὠκύπτερα. Ἀριστοφάνης Ὄρνισιν· ἐγὼ μὲν πρᾶγμά πω γελοιότερον οὐκ εἶδον οὐδὲ πώποτε. ἐπὶ τῷ γελᾷς; ἐπὶ τοῖς σοῖς ὠκυπτέροις. οἶσθ’ ᾧ μάλιστ’ ἔοικας ἐπτερωμένος; εἰς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ. ἀντὶ τοῦ εὐτελῶς γεγραμμένῳ χηνί.

π 3028 Πτίλλος: ὁ μαδαρὸς τοῖς βλεφάροις.

π 3029 Πτισάνη: ἡ κεκομμένη καθαρά. Ἀριστοφάνης· ἴσχνανα ἐπυλλίοις. οὐκ ἀπὸ πτισάνης, ἀλλ’ ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων.

π 3030 Πτίσσεσθαι: τὸ δίκην πτισάνης τύπτεσθαι. καὶ Πτίσσω, τὸ τύπτω.

π 3031 Πτολεμαΐς δίκη: πρεσβύτις ἦν ἡ Πτολεμαΐς ἀρχαία, ἄχρις οὗ ἀποθάνοι δίκας λέγουσα, διὰ τὸ ἀεὶ ὑπερτίθεσθαι καὶ μήποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι.

π 3032 Πτολεμαῖος, Κυθήριος, ἐποποιός. οὗτος ἔγραψε περὶ ψαλακάνθης. ἐν τούτῳ δέ φησιν, ὅτι βοτάνη ἐστί, θαυμαστήν τινα δύναμιν ἔχουσα.

π 3033 Πτολεμαῖος, ὁ Κλαύδιος χρηματίσας, Ἀλεξανδρεύς, φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε Μηχανικὰ βιβλία γʹ, Περὶ φάσεων καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν βιβλία βʹ, Ἅπλωσιν ἐπιφανείας σφαίρας, Κανόνα πρόχειρον, τὸν Μέγαν ἀστρονόμον ἤτοι Σύνταξιν· καὶ ἄλλα.

π 3034 Πτολεμαῖος, Ἀλεξανδρεύς, γραμματικός, ὃς ἐπεκαλεῖτο Πινδαρίων· υἱὸς δὲ ἦν Ὀροάνδου, μαθητὴς Ἀριστάρχου. ἔγραψεν Ὁμηρικῶν ὑποδειγμάτων βιβλία γʹ, Περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος, Πρὸς Νεοθαλίδην περὶ λέξεως, Περὶ τοῦ παρ’ Ὁμήρῳ Οὔτιδος, Περὶ Ἀστεροπαίου τοῦ παρ’ Ὁμήρῳ μνημονευομένου· καὶ ἕτερα.

π 3035 Πτολεμαῖος, γραμματικός, ὁ Ἐπιθέτης κληθείς, διότι εἵπετο τῷ Ἀριστάρχῳ. διηκηκόει δὲ Ἑλλανίκου τοῦ γραμματικοῦ, ὁ δὲ Ἀγαθοκλέους, ὁ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου. ἔγραψε Περὶ τῶν παρ’ Ὁμήρῳ πληγῶν, Ὑπόμνημα εἰς τὴν Ὀδύσσειαν.

π 3036 Πτολεμαῖος, Ἀριστονίκου τοῦ γραμματικοῦ πατήρ, καὶ αὐτὸς γραμματικός· ἄμφω δὲ ἐπεδείκνυντο ἐν Ῥώμῃ. Τὰ ὁμοίως εἰρημένα τοῖς Τραγικοῖς, Εἰς Ὅμηρον βιβλία νʹ, Τὰ παρὰ τῷ ποιητῇ ξένως ἱστορημένα, Τὰ περὶ Μουσῶν καὶ Νηρηΐδων.

π 3037

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πτολεμαῖος, Ἀλεξανδρεύς, γραμματικός, ὁ τοῦ Ἡφαιστίωνος, γεγονὼς ἐπί τε Τραιανοῦ καὶ Ἀδριανοῦ τῶν αὐτοκρατόρων, προσαγορευθεὶς δὲ Χέννος. Περὶ παραδόξου ἱστορίας, Σφίγγα (δρᾶμα δέ ἐστιν ἱστορικόν), Ἀνθόμηρον (ἔστι δὲ ποίησις ῥαψῳδιῶν εἰκοσιτεσσάρων)· καὶ ἄλλα τινά.

π 3038 Πτολεμαῖος, ὁ Ἀσκαλωνίτης, γραμματικός, ὃς ἐπαίδευσεν ἐν Ῥώμῃ. ἔγραψε Προσῳδίαν Ὁμηρικήν, Περὶ Ἑλληνισμοῦ ἤτοι ὀρθοεπίας βιβλία ιε′, Περὶ μέτρων, Περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριστάρχου διορθώσεως, Περὶ διαφορᾶς λέξεως. καὶ ἕτερα γραμματικά.

π 3039 Πτολεμαῖος, ὁ Φιλοπάτωρ. οὗτος ἕκαστα τῶν πραγμάτων ὀλιγώρως χειρίζων διὰ τοὺς ἀπρεπεῖς ἔρωτας καὶ τὰς ἀλόγους καὶ συνεχεῖς μέθας εἰκότως ἐν πάνυ βραχεῖ χρόνῳ καὶ τῆς ἀρχῆς ἅμα καὶ τῆς ψυχῆς ἐπιβούλους εὗρε καὶ πλείους, ὧν ἐγένετο Κλεομένης καὶ Θεόδοτος καὶ ἄλλοι πολλοί.

π 3040 Πτολεμαῖος, ὁ βασιλεὺς Αἰγύπτου. ὅτι Ὑρκανοῦ συνδειπνοῦντος Πτολεμαίῳ τῷ βασιλεῖ καὶ πάντων τῶν συνανακειμένων τὰς σάρκας ἐσθιόντων καὶ τὰ ὀστᾶ ἔμπροσθεν τοῦ Ὑρκανοῦ σωρευόντων, Τρύφων ὁ γελωτοποιὸς τοῦ βασιλέως, ὁρᾷς, εἶπεν, ὦ δέσποτα, παρακείμενα Ὑρκανῷ ὀστᾶ; ἐκ τούτου στόχασαι, ὅτι καὶ ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν, ὡς οὗτος ταῦτα σαρκῶν ἐγύμνωσε. γελάσαντος δὲ πρὸς τὸν τοῦ Τρύφωνος λόγον τοῦ βασιλέως καὶ ἐρομένου τὸν Ὑρκανόν, πῶς τοσαῦτα αὐτῷ παράκειται ὀστᾶ· εἰκότως, εἶπεν, ὦ δέσποτα· τοὺς μὲν γὰρ κύνας τὰ ὀστᾶ σὺν τοῖς κρέασι κατεσθίειν, ὥσπερ οὗτοι· πρὸς τοὺς συνανακειμένους εἰπών, ὅτι μηδὲν ἔμπροσθεν αὐτῶν ἔκειτο· οἱ δὲ ἄνθρωποι τὸ κρέας ἐσθίουσι, τὰ δὲ ὀστᾶ ῥίπτουσιν· ὅπερ ἄνθρωπος ὢν κἀγὼ πεποίηκα. θαυμάζει τὴν ἀπόκρισιν αὐτοῦ σοφὴν οὕτω γενομένην καὶ πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν.

π 3041 Πτολεμαῖος, στρατηγὸς κατὰ Κύπρον· ὃς οὐδαμῶς Αἰγυπτιακὸς γέγονεν, ἀλλὰ νουνεχὴς καὶ πρακτικός· παραλαβὼν γὰρ τὴν νῆσον ἔτι νηπίου τοῦ βασιλέως ὄντος ἐγίνετο μὲν ἐπιμελὴς περὶ συναγωγὴν χρημάτων, ἐδίδου δ' ἁπλῶς οὐδὲν οὐδενί, καίπερ αἰτούμενος πολλάκις ὑπὸ τῶν βασιλικῶν διοικητῶν καὶ καταλαλούμενος πικρῶς ἐν τῷ μηδὲν προΐεσθαι. τοῦ δὲ βασιλέως εἰς ἡλικίαν παραγεγονότος, συνθεὶς πλῆθος ἱκανὸν χρημάτων ἐξαπέστειλεν, ὥστε καὶ τὸν Πτολεμαῖον καὶ τοὺς περὶ τὴν ... εὐδοκῆσαι ... τῇ πρότερον αὐτοῦ συστολῇ καὶ τῷ μηδὲν προΐεσθαι.

π 3042 Πτολίπορθος: ἀνδρεῖος, πόλεις πορθῶν.

π 3043 Πτόλισμα: πόλις.

π 3044 Πτόρθους καὶ κλῶνας: τὰς ἐκφύσεις τῶν δένδρων. οἱ δ' Ἀττικοὶ πρέμνα καὶ κλάδους καλοῦσι.

π 3045 Πτῶκα: δειλόν. καὶ πτῶκας, δορκάδας, ἢ ἐλάφου νεβροὺς ἢ λαγῳούς.

π 3046 Πτῶμα: σῶμα. ἄνευ τῆς κεφαλῆς.

π 3047 Πτώματα ἐλαιῶν: Λυσίας ἐν τῷ κατὰ Νικίδου λέγοι ἂν ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα, κατά τινα τύχην πεπτωκότα.

π 3048 Πτώξ: λαγῳός. ἐν Ἐπιγράμμασι· εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης Βακχιάδος πολὺν βότρυν ἀμελγόμενον.

π 3049 Πτώσεις: οὕτω λέγουσι κοινότερον οἱ φιλόσοφοι καὶ τὰς ὁπωσοῦν ἐγκλίσεις τε καὶ ἐκφοράς, οὐ μὴν καὶ νῦν οὕτως, ἀλλ' ἐστὶ σύστοιχα καὶ πτώσεις καὶ παρώνυμα, παρακεῖσθαι μὲν ἀλλήλοις δοκοῦντα, διαφέροντα δέ. καὶ πτώσεις λέγουσι τὰ ἰδίως οὐ παρά τινα ἐσχηματισμένα, ὡς τὸ γραμματικῶς· πτῶσις γὰρ τοῦτο τοῦ γραμματικόν· ὁμοίως τῷ δικαίως καὶ μουσικῶς καὶ φρονίμως καὶ ἀνδρείως· πτώσεις γὰρ ταῦτα τοῦ δίκαιον, μουσικόν, ἀνδρεῖον, φρόνιμον. ἔστι δὴ

ὁ παραδιδόμενος τόπος τοιοῦτος· ἂν ἡ πτῶσις τινὸς ᾖ ὁπωσοῦν λεγομένη πλεοναχῶς, καὶ αὐτὸ πλεοναχῶς, καὶ εἰ αὐτό, καὶ ἡ πτῶσις. οἷον ἐπεὶ τοῦ δικαίου τὸ δικαίως πτῶσις, ἂν τὸ δικαίως πλεοναχῶς, καὶ τὸ δίκαιον, καὶ ἔμπαλιν. λέγεται δὲ τὸ δικαίως πλεοναχῶς· ὅ τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην κρίνας καὶ τὸ δόξαν αὐτῷ δίκαιον εἶναι ἀποφηνάμενος δικαίως λέγεται κεκρικέναι, κἂν μὴ οὕτως δίκαιον ᾖ τοῦτο. λέγεται δικαίως κεκρικέναι καὶ ὁ ὡς δεῖ κρίνας· ἀλλὰ καὶ ὁ τῷ νόμῳ πεισθείς, κἂν μὴ τὸ ταῖς ἀληθείαις δίκαιον οὕτως ἔχῃ. καὶ τὸ δίκαιον οὖν τῶν πλεοναχῶς λεγομένων καὶ τοσαυταχῶς· καθ’ ἕκαστον γὰρ τῶν δικαίως· τό τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην καὶ τὸ ὡς δεῖ δίκαιον τοιοῦτον καὶ τὸ νόμιμον. καὶ δῆλον, ὅτι ἀντιστρέφει ὁ τόπος· καὶ γὰρ εἰ αὐτὸ πάλιν πλεοναχῶς τὸ δίκαιον, καὶ ἡ πτῶσις ἡ ἀπ’ αὐτοῦ, τὸ δικαίως, πλεοναχῶς. κατὰ γραμματικοὺς πτῶσις ἐστὶν ὀνόματος ἢ ὀνοματικοῦ τινος κατὰ τὸ τέλος κίνησις γενομένη. καὶ Πτώσσοντες, δειλιῶντες. καὶ Πτώσσουσαν, δειλιῶσαν, κρυπτομένην. πᾶν δὲ κατ’ εὔδενδρον στείβων δρυός, εἴρυσα χειρὶ πτώσσουσαν Βρομίας οἰνάδος ἐν πετάλοις.

π 3050 Πτωσκαζέμεν: δειλιᾶν.

π 3051 Πτωχεύω· αἰτιατικῇ.

π 3052 Πτωχεία πενίας διενήνοχεν: ἧς· ἡ μὲν πενία μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα, ἡ δὲ πτωχεία παντελὴς τῆς κτήσεως ἔκπτωσις. καὶ ὁ μὲν πένης παρὰ τὸ πένεσθαι, ὅ ἐστι ἐνεργεῖν καὶ ἐκ τούτου πορίζειν τὰ χρειώδη εἴρηται· ὁ δὲ πτωχὸς παρὰ τὸ πτώσσειν πάντας. εἴρηται δὲ πενία παρὰ τὸ διὰ τοῦ πονεῖν ἔχειν τὸ ζῆν, πτωχεία δὲ παρὰ τὸ πτώσσειν πάντας ἀνθρώπους. τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν· ὑμεῖς γ’ οἵπερ καὶ Θρασυβούλῳ Διονύσιόν φατε εἶναι ὁμοῖον. ὁ μὲν γὰρ τύραννος, ὁ δὲ τυραννοκτόνος.

π 3053 Πτωχίστερος: ὡς λαλίστερος.

π 3054 Πτωχός: ὁ ἐκπεπτωκὼς τοῦ ἔχειν. ἐπαίτης. παρὰ τὸ πτώσσειν, ὅ ἐστι ταπεινοῦσθαι.

π 3055 Πτωχοτροφεῖον.

π 3056 Πτωχοῦ πήρα οὐ πίμπλαται: ἐπὶ τῶν ἀπλήστων εἴρηται. καί, Πτωχῶν οὐλαὶ ἀεὶ κεναί. καί, Πτωχότερος λεβηρίδος καὶ κιγκάλου.

π 3057 Πτοία: πτόησις. φόβος. οἱ δὲ Σκύθαι ἐς τοῦτο δείματος καὶ πτοίας ἅπαντα περιέστησαν, ὥστε εἷς καὶ μυρίους ἐδίωκεν, εἰ καὶ ἦν ἄνοπλος, ὅπλα ἔχοντας καὶ χεῖρας οὐκ ἀνταιρομένους.

π 3058 Πτοίαν: πτόησιν, θόρυβον, τάραχον, συναθροισμόν, πτυρμόν. καὶ πτοία μέν τις διὰ τὸ ἀδόκητον ἐπέσχε τὸ στρατόπεδον, οἷα μὴ συντεταγμένους.

π 3059 Ποιόδωρος: ὄνομα κύριον.

π 3060 Πτύγμα: δίπλωμα. ἐν Ἐπιγράμμασι· καὶ πέπλων ὀλίγον πτύγμα Θεμιστοδίκη.

π 3061 Πτυκτίον: βιβλίον.

π 3062 Πτυκτῷ: πτυσσομένῳ.

π 3063 Πτύξωμαι· Ἀριστοφάνης Νεφέλαις· πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ. ἀντὶ τοῦ καλύψομαι, σκεπάσομαι. καὶ Σοφοκλῆς· ὁ δ’, ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρόν, πτύξας ἐπ’ αὐταῖς χεῖρας εἶπεν, ὦ τέκνα.

π 3064 Πτυόδωρος: ὄνομα κύριον.

π 3065 Πτύον: πτυάριον.

π 3066 Πτύσσω: τὸ ἀσφαλίζω.

π 3067 Πτυχαί: αἱ τῶν ὀρῶν ἀποκλίσεις. καὶ τὰ διάφορα τῆς ἀσπίδος ἐπ’ ἀλλήλοις ἐλάσματα. καί, ἀνειμένων πόλοιο παμφαῶν πτυχῶν, μύστης ὁρᾷ.

π 3068

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ποῖ ποτε. Ἀριστοφάνης· ποῖ γὰρ καὶ χρῆν ἀναμεῖναι; καὶ παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ εἰς τίνα χρόνον. ποῖ γὰρ μενεῖς ῥᾴθυμος, ἐς τίν᾽ ἐλπίδων βλέψας᾽ ἔτ᾽ ὀρθήν;

π 3069 Ποῖ: ἀντὶ τοῦ ποῦ. Σοφοκλῆς. Τεῦκρος πρὸς τὸν νεκρὸν Αἴαντος· ποῖ γὰρ μολεῖν με δυνατόν, εἰς ποίους βροτούς, τοῖς σοῖς ἀρήξαντ᾽ ἐν πόνοισι μηδαμοῦ; ἦπου Τελαμών, ὁ σὸς πατὴρ ἐμός τ᾽ ἴσως, δέξαιτ᾽ ἂν εὐπρόσωπος, ἵλεως τ᾽ ἴσως, χωροῦντ᾽ ἄνευ σοῦ. πῶς γὰρ οὐχ; ὅτῳ πάρα μηδ᾽ εὐτυχοῦντι μηδὲν ἵλεων γελᾶν.

π 3070 Ποῖ γῆς ἀπεδήμεις· ὁ Διόνυσος λέγει, ποῖ γῆς; ὁ δέ φησιν, ἐπεβάτευον Κλεισθένει. τὸ ἐπιβατεύειν ἐπὶ συνουσίας, ἀπὸ μεταφορᾶς τῶν ζῴων, ἃ ἐπιβαίνοντα συνουσιάζει. ὁ δὲ Κλεισθένης ἐπ᾽ αἰσχρότητι κωμῳδεῖται. ἦν δὲ λεῖος τὸ γένειον, καὶ εὐνούχῳ εἰκάζει αὐτόν. τὸν δὲ Κλεισθένην καὶ ἐπὶ τοῦ πασχητιᾶν κωμῳδεῖ. ἐμφαίνει οὖν, ὅτι εἰ καὶ κατὰ στρατείαν ἀπεδήμουν, Κλεισθένει ἂν ἐστρατευσάμην.

π 3071 Ποιά: ἡ πεποιημένη φωνή.

π 3072 Ποιάντειον πεδίον.

π 3073 Ποιεῦμεν: ποιοῦμεν.

π 3074 Ποίη: ὁ ἐνιαυτὸς παρὰ Καλλιμάχῳ· παρὰ τὸ ἅπαξ καὶ μόνον ἐν τῷ ἐνιαυτῷ τὴν βοτάνην φύεσθαι. μῆλον ἐγὼ στρούθιον ἀπὸ προτέρης ἔτι ποίης.

π 3075 Ποιήεσαν: σιτοφόρον. βοτανώδη.

π 3076 Ποίην: πόαν, βοτάνην. καὶ Ποιηφάγον, τὴν σταφυλολόγον· ἢ τὴν τοὺς ἀστάχυας ὄπισθεν τῶν θεριζόντων σωρεύουσαν.

π 3077 Ποιητέον: ἀντὶ τοῦ ἃ δεῖ ποιεῖν.

π 3077b Ποιητική· ζήτει ἐν τῷ ἀρχῃ.

π 3078 Ποίθιοι: τέσσαρες ἄνδρες αἱρετοὶ παρὰ Λάκωσι, δύο καθ᾽ ἕκαστον βασιλέα σύσσιτοι.

π 3079 Ποικίλη: στοὰ ἐν Ἀθήναις, ἔνθα ἐγράφησαν οἱ ἐν Μαραθῶνι πολεμήσαντες· εἰς οὓς ἐστιν ἐπίγραμμα τόδε· Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι ἔκτειναν Μήδων εἴκοσι μυριάδας.

π 3080 Ποικιλία.

π 3081 Ποικιλομήτης: ποικιλόβουλος. Ποικιλόμητις δέ.

π 3082 Ποικίλος καὶ Ποικιλώτατος.

π 3083 Ποικιλῳδός: ἡ Σφίγξ. ἡ ποικιλῳδὸς Σφὶγξ τὸ πρὸς ποσὶ σκοπεῖν μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο.

π 3084 Ποικιλώτερος ὕδρας: ἐπὶ τῶν δολερῶς ἤτοι θαυμαζομένων.

π 3085 Ποικιλτικήν: πολυμιταρικήν.

π 3086 Ποικινὸς λόγος: ὁ πυκνός.

π 3087 Ποιμαίνειν· αἰτιατικῇ.

π 3088 Ποιμένων: κηδεμόνων· ἐπεὶ καὶ ποιμαίνειν, τὸ φροντίζειν.

π 3089 Ποιμνήϊον.

π 3090 Ποιμνίωνος.

π 3091 Ποιναὶ τιμωροὶ τοῖς κακῶς ποιοῦσιν ἀκολουθοῦσιν, οὐχ ὡς σκιαὶ σώμασι πλησίον, ἀλλὰ καὶ ὀψὲ τοῦ χρόνου.

π 3092 Ποινή· ποινὴ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων. ποινήν, ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος. καὶ αὖθις· ἀλλ᾽ ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ᾽ ἀποτίσας· τοῦ δέ τ᾽ ἐρητύεται κραδίη καὶ θυμὸς

ἀγήνωρ, ποινὴν δεξαμένῳ. λέγεται δὲ καὶ ἡ ἀντέκτισις καὶ τιμωρία. Σοφοκλῆς· οἷς θεὸς μέγας Ὀλύμπιος ποίνιμα πάθεα παθεῖν πόροι. καὶ Δίκη μεταποίνιος. ἐν Ἐπιγραμμάσι· μή, λίτομαι, δέσποινα, τοίην μὴ λάμβανε ποινήν. καὶ Αἰλιανός· ὁ Ἀπόλλων φησὶ πρὸς Λοκρούς, μὴ ἂν αὐτοῖς τὸ δεινὸν λωφήσειν, εἰ μὴ πέμποιεν ἀνὰ πᾶν ἔτος δύο παρθένους ἐς τὴν Ἴλιον τῇ Ἀθηνᾷ, Κασάνδρας ποινήν, ἕως ἂν ἱλεώσητε τὴν θεόν. καὶ Ποίνιμοι, αἱ τιμωρητικαὶ Ἐριννύες. Σοφοκλῆς. ἴτε, ὦ ταχεῖαι ποίνιμοί τ' Ἐριννύες, γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ. καὶ αὖθις· πάντων τῶν ἀσεβημάτων καὶ παρανομημάτων ὧν εἰργάσατο, παρέστησαν αὐτῷ τινας ἐριννῦς καὶ ποινὰς καὶ προστροπαίους τῶν δι' ἐκεῖνον ἠτυχηκότων.

π 3093 Ποινήλατον· τοῦτον ὡς ποινήλατον ὁ φιλόσοφος ἐξετρέπετο.

π 3094 Ποινήν: τιμωρίαν, ἀντέκτισιν, πρόστιμον.

π 3095 Ποινήν· οὓς δὲ λάβοι Σάκας αἰχμαλώτους, ἀνεσκολόπιζε καὶ ᾐκίζετο, καὶ αὖθις ποινὰς τοῦ πατρὸς φόνου πράξασθαι θέλων.

π 3096 Ποινηλατούμενος.

π 3097 Ποιούντων: ἀντὶ τοῦ ποιήτωσαν. ὡς τὸ δρώτων ἀντὶ τοῦ δρώτωσαν. καὶ ζήτει ἐν τῷ δρώντων.

π 3098 Ποιῶ· δοτικῇ· αἰτιατικῇ δέ· ὁμοῦ σπαρεὶς καὶ ἀναδοθείς, ὡς ὁ μύθος ποιεῖ τοὺς Γίγαντας.

π 3099 Ποιπνύω: τὸ ἐνεργῶ.

π 3100 Ποῖ πορεύῃ γλῶσσα· ζήτει ἐν τῷ πόλιν· γλῶσσα ποῖ πορεύῃ.

π 3101 Ποιοίη: εὐκτικῶς, ποιοῖ.

π 3102 Ποίφυγμα.

π 3103 Ποιφύσσω: σφοδρῶς καὶ μετὰ ἤχου τὴν πνοὴν ἐκπέμπω. οὐδὲ περὶ σκαρθμοῖσι νεὼς περικαλλέα χείλη ποιφύσσω, τἀμᾷ τερπόμενος προτομᾷ. ὁ δελφίς φησι. καὶ Ποιφύξαι, φυγεῖν.

π 3104 Πυανεψιῶνος: ὄνομα μηνός. καὶ Πυανοψία· Λυκοῦργος ἐν τῇ κατὰ Μεσαίχμου. καὶ ἡμεῖς Πυανοψίαν ταύτην τὴν ἑορτὴν καλοῦμεν, οἱ δὲ ἄλλοι Ἕλληνες Πανοψίαν, ὅτι πάντας εἶδον τοὺς καρποὺς τῇ ὄψει. Πυανεψιῶνος δὲ ὅτι ἑβδόμῃ τὰ Πυανέψια Ἀπόλλωνι ἄγεσθαι φασί. δεῖν δὲ φασὶ λέγειν Πυανέψια καὶ τὸν μῆνα Πυανεψιῶνα· πύανα γὰρ ἕψουσιν ἐν αὐτοῖς, καὶ ἡ εἰρεσιώνη ἄγεται.

π 3105 Πύανθος: ὄνομα κύριον.

π 3106 Πύγαργος: εἶδος ἀετοῦ. παρὰ τὸ πυγὴν ἔχειν ἀργὴν καὶ λευκήν.

π 3107 Πύγελλα: τόπος, ὁ παρ' ἡμῖν λεγόμενος Φύγελλα· ὅθεν ἐστὶ περαιώσασθαι τὸν πρὸς Κρήτην κατάγοντα πορθμόν.

π 3108 Πυγαῖα: τὰς σπείρας τῶν κιόνων. καὶ τοῦ σώματος ἡμῶν τὰ κατὰ τὸ ἱερὸν ὀστοῦν. καὶ Πυγαῖος, ὁ ἀκόλαστος.

π 3109 Πύγελα· πόλις ἐν τῇ Ἰωνίᾳ τὰ Πύγελα. λαβεῖν δὲ τὸ ὄνομα, ἐπειδὴ τῶν μετὰ Ἀγαμέμνονά τινες νοσήσαντες τὰς πυγὰς ἐνταῦθα κατέμειναν.

π 3110 Πυγή: τὸ περὶ τὸν πρωκτὸν μέρος. Ἀριστοφάνης· γυμνάζομαί γε καὶ ποτὶ πυγὴν ἅλλομαι. ἐν γὰρ τῷ γυμνάζεσθαι πηδᾶν εἰώθασι καὶ οἱ πόδες τοῦ πηδῶντος ἅπτεσθαι τῆς πυγῆς. καὶ παροιμία· ἐς κυνὸς πυγὴν ὁρᾶν. ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμούς, ἤτοι ὀφθαλμιώντων ἐπέλεγον, ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων.

π 3111 Πυγιδίων: ὀνύχων. Ἀριστοφάνης· εἰ γάρ τις εἴποι ἰοστεφάνους, εὐθὺς ἐπ' ἄκρων πυγιδίων κάθησθε. ἀντὶ τοῦ ἐπ' ἄκρων τῶν ὀνύχων. οἱ γὰρ ἡδέως τι ἀκούοντες δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι.

π 3112 Πυγμαλῖνος: ὄνομα κύριον. καὶ Πυγμαλίωνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 3113 Πυγμή: πάλη, σύγκλεισις δακτύλων, γρόνθος.

π 3114 Πυγοστόλος: προαγωγός· μαυλίστρια. Ἡσίοδος· μηδέ σε γυνὴ πυγοστόλος ἐξαπατάτω.

π 3115 Πυδαλίζω: πηδῶ.

π 3116 Πυδναίους: ὄνομα ἔθνους.

π 3117 Πυελίδα: τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. οὕτως Λυσίας καὶ Ἀριστοφάνης.

π 3118 Πύελος: ὄρυγμα, ἐμβατή, ἔνθα ἀπολούονται.

π 3119 Πύελος: θήκη. ἐπιστολὴν πέμπει ἐν Βυζαντίῳ, τῇ πυέλῳ τῶν ἱερῶν λειψάνων τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου τὸν τοιοῦτον χάρτην ἐπιτεθεικὼς κἀκεῖθεν τοῦτον ταῖς χερσὶ τοῦ ἀποσταλέντος ἀρθῆναι ποιήσας. θερμὴν ἐς πύελον γὰρ ἐσήλυθε καὶ ἄκρητον ἔσπασεν· εἶτ' ἀΐδην ψυχρὸν ἐπεσπάσατο.

π 3120 Πυθαγόρας, Σάμιος, φύσει δὲ Τυρρηνός, Μνησάρχου υἱὸς δακτυλιογλύφου. νέος δὲ ὢν σὺν τῷ πατρὶ ἐκ Τυρρηνίας ᾤκησεν εἰς Σάμον. οὗτος ἤκουσε πρῶτος Φερεκύδου τοῦ Συρίου ἐν Σάμῳ, εἶτα Ἑρμοδάμαντος ἐν τῇ αὐτῇ Σάμῳ, ὃς ἦν ἀπόγονος Κρεοφύλου, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρητος τοῦ μάγου· παιδευθεὶς δὲ καὶ παρ' Αἰγυπτίοις καὶ Χαλδαίοις ἦλθεν εἰς Σάμον καὶ εὑρὼν αὐτὴν τυραννουμένην ὑπὸ Πολυκράτους ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας καὶ σχολὴν συστησάμενος πλεῖον ἢ χʹ ἔσχε γνωρίμους. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ δύο, πρεσβύτερος μὲν Εὔνομος, μέσος δὲ Τυρρηνός. δοῦλος δὲ ἦν αὐτῷ Ζάμολξις, ᾧ Γέται ὡς Κρόνῳ θύουσι. γαμετὴν δ' ἐποιήσατο Θεανώ, τὴν Βροτίνου τοῦ Κροτωνιάτου θυγατέρα· ἐξ ἧς καὶ παῖδες αὐτῷ ἐγένοντο δύο, Τηλαύγης καὶ Δάμων ἢ ὥς τινες Μνήσαρχος. κατὰ δέ τινας καὶ θυγάτηρ, Μυῖα ὄνομα, κατὰ δὲ ἄλλους καὶ Ἀριγνώτη. συνέγραψε δὲ ὁ Πυθαγόρας μόνα τρία βιβλία, Παιδευτικόν, Πολιτικόν· τὸ δὲ φερόμενον τρίτον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ γενομένου καὶ φυγόντος εἰς Θήβας καὶ καθηγησαμένου Ἐπαμινώνδα. τινὲς δὲ ἀνατιθέασιν αὐτῷ καὶ τὰ Χρυσᾶ ἔπη. πρῶτος δὲ ὁ Πυθαγόρας ἐμψύχων ἀπέχεσθαι τροφῆς παρέδωκε καὶ κυάμων. ἐτελεύτα δὲ ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον· συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μήλωνος οἰκίᾳ, τούτου ὑπό τινος τῶν μὴ παραδοχῆς ἀξιωθέντων διὰ φθόνον ὑποπρησθῆναι τὴν οἰκίαν συνέβη. τινὲς δὲ αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους, τὸν δὴ Πυθαγόραν καταληφθῆναι διεξιόντα καὶ πρός τινι χωρίῳ γενόμενον πλήρει κυάμων, ἵνα διήρχετο, αὐτόθι ἔστη, εἰπὼν ἁλῶναι μᾶλλον ἢ πατῆσαι, ἀναιρεθῆναι δὲ κρεῖττον ἢ λαλῆσαι· καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. οὕτω δὲ καὶ τοὺς πλείστους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς μʹ.

π 3121 Πυθαγόρας· περὶ τούτου φησὶ Φιλόστρατος· οἱ τὸν Σάμιον Πυθαγόραν ἐπαινοῦντες τάδε ἐπ' αὐτῷ φασιν, ὡς Ἴων μὲν οὔπω εἴη, γένοιτο δὲ ἐν Τροίᾳ ποτὲ Εὔφορβος ἀναβιῴη τε ἀποθανών, ἀποθάνοι δ', ὡς ᾠδαὶ Ὁμήρου· ἐσθῆτά τε τὴν ἀπὸ θνησειδίων παραιτοῖτο καὶ καθαρεύοι βρώσεως, ὁπόση ἐμψύχων, καὶ τοῦ θῦσαι· μὴ γὰρ αἱμάττειν τοὺς βωμούς· ἀλλ' ἡ μελιττοῦτα καὶ ὁ λιβανωτὸς καὶ τὸ ἐφυμνῆσαι, φοιτᾶν ταῦτα τοῖς θεοῖς παρὰ τοῦ ἀνδρὸς τούτου· γινώσκειν τε, ὡς ἀσπάζοιντο τὰ τοιαῦτα οἱ θεοὶ μᾶλλον ἢ τὰς ἑκατόμβας καὶ τὴν μάχαιραν ἐπὶ τοῦ κανοῦ· ξυνεῖναι γὰρ δὴ τοῖς θεοῖς καὶ μανθάνειν παρ' αὐτῶν, ὅπη τοῖς ἀνθρώποις χαίρουσι καὶ ὅπη συνάχθονται. περί τε φύσεως ἐκεῖθεν λέγειν· τοὺς μὲν γὰρ ἄλλους τεκμαίρεσθαι τοῦ θείου καὶ δόξας ἀνομοίας ἀλλήλαις περὶ αὐτοῦ δοξάζειν, ἑαυτῷ δὲ τόν τε Ἀπόλλω ἥκειν, ὁμολογοῦντα ὡς αὐτὸς εἴη· ξυνεῖναι δ' αὖ καὶ μὴ ὁμολογοῦντας τὴν Ἀθηνᾶν καὶ τὰς Μούσας καὶ θεοὺς ἑτέρους, ὧν τὰ εἴδη καὶ τὰ ὀνόματα οὔπω τοὺς ἀνθρώπους γινώσκειν. καὶ ὅ τι ἀποφήναιτο ὁ Πυθαγόρας, νόμον τοῦτο οἱ ὁμιληταὶ ἡγοῦντο καὶ ἐτίμων αὐτὸν ὡς ἐκ Διὸς ἥκοντα, καὶ ἡ σιωπὴ δὲ ὑπὲρ τοῦ θείου σφίσιν ἐπήσκητο· πολλὰ γὰρ θεῖά τε καὶ ἀπόρρητα ἤκουον, ὧν κρατεῖν

χαλεπὸν ἦν, μὴ πρῶτον μαθοῦσιν, ὅτι καὶ τὸ σιωπᾶν λόγος. καὶ μὴν τὸν Ἀκραγαντῖνον Ἐμπεδοκλέα βαδίσαι φασὶ τὴν σοφίαν ταύτην. τὸ γάρ, χαίρετ', ἐγὼ δ' ὔμμιν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητός· καί, ἤδη γάρ ποτ' ἐγὼ γενόμην κούρη τε κόρος τε· καὶ ὁ ἐν Ὀλυμπίᾳ βοῦς, ὃν λέγεται πέμμα ποιησάμενος θῦσαι, τὰ Πυθαγόρου ἐπαινοῦντος εἴη ἄν. καὶ πλείω ἕτερα περὶ τῶν Πυθαγόρου τρόπων, σπεύδοντα ἐπὶ τὸν λόγον.

π 3122 Πυθαγόρας, Ἐφέσιος, καταλύσας δι' ἐπιβουλῆς τὴν τῶν Βασιλιδῶν καλουμένην ἀρχὴν ἀνεφάνη τε τύραννος πικρότατος, καὶ τῷ μὲν δήμῳ καὶ τῇ πληθύϊ ἦν τε καὶ ἐδόκει κεχαρισμένος, ἅμα τὰ μὲν αὐτοὺς ἐπελπίζων ὑποσχέσεσι, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη· τούς γε μὴν ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων φορητὸς οὐδαμὰ οὐδαμῇ ἦν. καὶ κολάσαι δὲ πικρότατα οὐκ ἂν ὤκνησε καὶ ἀφειδέστατα ἀποκτεῖναι οὐδὲν ἀδικοῦντας· ἐξελύττησε γὰρ εἰς ταῦτα· ἔρως τε χρημάτων ἄμετρος· καὶ διαβολαῖς ταῖς ἐς τοὺς πλησίους ἐκριπισθῆναι κουφότατος ἦν. ἀπέχρησε μὲν οὖν καὶ ταῦτα ἂν κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν, ἤδη δὲ καὶ τοῦ θείου κατεφρόνει. τῶν γοῦν προειρημένων, οἷς ἐπέθετο, παμπόλλους ἐν τοῖς ναοῖς ἀπέκτεινεν, ἑνὸς δὲ τὴν θυγατέρα καταφυγούσαν εἰς τὸ ἱερὸν ἀναστῆσαι μὲν αὐτὴν βιαίως οὐκ ἐτόλμησε, συνεχῆ δὲ φυλακὴν ἐπιστήσας ἐξετρύχωσεν ἄρα ἐς τοσοῦτον, ὡς βρόχῳ τὴν κόρην τὸν λιμὸν ἀποδρᾶναι. οὐκοῦν ἠκολούθησε δημοσίᾳ νόσος καὶ τροφῶν ἀπορία, καὶ σαλεύων ὑπὲρ ἑαυτοῦ ὁ Πυθαγόρας εἰς Δελφοὺς ἀπέστειλε καὶ ᾔτει λύσιν τῶν κακῶν. ἡ δὲ ἔφη νεὼν ἀναστῆσαι καὶ κηδεῦσαι τοὺς νεκρούς. ἦν δὲ πρὸ Κύρου τοῦ Πέρσου, ὥς φησι Βάτων.

π 3123 Πυθαγόρας ὁ Σάμιος, φιλόσοφος, διότι τὴν ἀλήθειαν ἠγόρευεν οὐχ ἧττον τοῦ Πυθίου. ὃς παρηγγύα τοῖς μαθηταῖς ἑκάστοτε ταῦτα λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι· πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

π 3124 Πυθαγόρας: ὄνομα κύριον. καὶ Πυθαγόρειος λόγος. καὶ Πυθαγόρειοι ἄνδρες. ὅτι Πυθαγόρα τὰ σύμβολα ἦν τάδε· πῦρ μαχαίρᾳ μὴ σκαλεύειν· ζυγὸν μὴ ὑπερβαίνειν· ἐπὶ χοίνικος μὴ καθίζειν· καρδίαν μὴ ἐσθίειν· φορτίον συγκαθαιρεῖν, μηδὲ συνεπιτιθέναι· τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν· ἐν δακτυλίῳ θεοῦ εἰκόνα μὴ περιφέρειν· χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ· λαδίῳ εἰς θάκον μὴ ὀμόργνυσθαι· πρὸς ἥλιον τετραμμένον μὴ ὀμιχεῖν· ἐκτὸς λεωφόρου μὴ βαδίζειν· μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν· ὁμωροφίους χελιδόνας μὴ ἔχειν· γαμψώνυχα μὴ τρέφειν· ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν μηδὲ ἐφίστασθαι· ὀξεῖαν μάχαιραν ἀποστρέφειν· ἀποδημοῦντα ἐν τοῖς ὅροις ἀνεπιστρεπτεῖν. ἤθελε δὲ αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ὅτι δυναστῶν ὀργὴν καὶ οἰδούντων θυμὸν μὴ κινεῖν· τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν· ἐπί τε χοίνικος μὴ καθίζειν ἐν ἴσῳ τῷ φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ὁ γὰρ χοίνιξ ἡμερήσιος τροφή. διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν, ἐδήλου, μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν· διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι, παρῄνει τὸ ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν, μηδ' ὑπὸ τῶν ἐνθάδε ἡδονῶν ὑπάγεσθαι. καὶ τἄλλα πρὸς ταῦτα λοιπόν ἐστιν ἐκλαμβάνειν, ἵνα μὴ παρέλκωμεν. παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτε ἐρυθῖνον ἐσθίειν μήτε μελάνουρον, καρδίας τε ἀπέχεσθαι καὶ κυάμων καὶ μήτρας καὶ τρίγλης. ἐνίοτε αὐτὸν ἀρκεῖσθαι μέλιτι μόνῳ ἢ κηρῷ ἢ ἄρτῳ· οἴνου δὲ μεθ' ἡμέραν μὴ γεύεσθαι, ὄψῳ τε τὰ πολλὰ λαχάνοις ἑφθοῖς καὶ ὠμοῖς, τοῖς δὲ θαλαττίοις σπανίως. στολὴ δὲ αὐτῷ λευκὴ καὶ καθαρά, καὶ στρώματα λευκὰ ἐξ ἐρίων· τὰ γὰρ λινᾶ οὔπω εἰς ἐκείνους ἀφίκετο τοὺς τόπους. οὐδὲ πώποτε δὲ ἐγνώσθη οὔτε διαχωρῶν οὔτε ἀφροδισιάζων οὔτε μεθυσθείς. ἀπείχετο δὲ καταγέλωτος καὶ πάσης ἀρεσκείας, οἷον σκωμμάτων καὶ διηγημάτων φορτικῶν. ὀργιζόμενός τε οὔτε οἰκέτην ἐκόλαζεν οὔτε ἐλεύθερον οὐδένα. ἐκάλει δὲ τὸ νουθετεῖν πελαργᾶν. μαντικῇ τε ἐχρῆτο τῇ διὰ τῶν κληδόνων τε καὶ οἰωνῶν, ἥκιστα δὲ διὰ τῶν ἐμπύρων, ἔξω τῆς διὰ λιβάνου· θυσίαις τε ἐχρῆτο ἀψύχοις, οἱ δέ, ἀλεκτορίσι μόνον καὶ ἐρίφοις καὶ γαλαθηνοῖς. φασὶ δ' αὐτὸν συγχωρεῖν πάντα τὰ ἔμψυχα ἐσθίειν, μόνου δ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπέχεσθαι βοὸς ἀροτῆρος καὶ κριοῦ. τὰ δὲ δόγματα ἔλαβε παρὰ τῆς ἀδελφῆς Θεοκλείας. φασὶ δ' αὐτὸν κατελθόντα εἰς ᾅδου τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν, τὴν δὲ Ὁμήρου κρεμαμένην ἀπὸ δένδρου καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπον περὶ θεῶν· κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς ἑαυτῶν γυναιξί. σφάγια δὲ θεοῖς προσφέρειν ἐκώλυε· βωμὸν δὲ προσκυνεῖν τὸν ἀναίμακτον. μηδὲ ὀμνύναι θεούς· ἀσκεῖν δὲ ἑαυτὸν δεῖν ἀξιόπιστον παρέχειν. τοὺς πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους· ὡς ἐν κόσμῳ ἀνατολὴν δύσεως, ἐν βίῳ τὴν ἀρχὴν τελευτῆς, ἐν ζωῇ γένεσιν φθορᾶς. καὶ θεὸν μὲν δαιμόνων προτιμᾶν, ἥρωας δὲ ἀνθρώπων, ἀνθρώπων δὲ μάλιστα γονέας. ἀλλήλοις τε ὁμιλεῖν, ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δὲ ἐχθροὺς φίλους ἐργάσασθαι· ἴδιόν τε μηδὲν ἡγεῖσθαι. νόμῳ βοηθεῖν, ἀνομίᾳ πολεμεῖν. φυτὸν ἥμερον μήτε φθίνειν μήτε σίνεσθαι, ἀλλὰ μήτε ζῷον, ὃ μὴ βλάπτει ἀνθρώπους. αἰδῶ καὶ εὐλάβειαν εἶναι, μήτε καταγέλωτι κατέχεσθαι μήτε σκυθρωπάζειν. φεύγειν σαρκῶν πλεονασμόν. ὁδοιπορίας ἄνεσιν καὶ ἐπίτασιν ποιεῖσθαι. μνήμην ἀσκεῖν. ἐν ὀργῇ μήτε τι λέγειν μήτε πράσσειν. μαντικὴν πᾶσαν τιμᾶν. ᾠδαῖς χρῆσθαι πρὸς λύραν· ὕμνῳ τε θεῶν καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον ἔχειν χάριν. τῶν δὲ κυάμων ἀπέχεσθαι διὰ τὸ πνευματώδεις ὄντας μάλιστα μετέχειν τοῦ ψυχικοῦ, καὶ ἄλλως κοσμιωτέρας ἀπεργάζεσθαι μὴ παραληφθέντας τὰς γαστέρας· καὶ διὰ τοῦτο καὶ τὰς καθ' ὕπνους φαντασίας λείας τε καὶ ἀταράχους ἀποτελεῖν. ἐν ὑπομνήμασι δὲ Πυθαγορικοῖς καὶ ταῦτα εὕρηται· ἀρχὴν μὲν τῶν ἁπάντων μονάδα, ἐκ δὲ τῆς μονάδος ἀόριστον δυάδα, ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι. ἐκ δὲ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος τοὺς ἀριθμούς, ἐκ δὲ τῶν ἀριθμῶν τὰ σημεῖα, ἐκ δὲ τούτων τὰς γραμμάς, ἐξ ὧν τὰ ἐπίπεδα σχήματα· ἐκ δὲ τῶν ἐπιπέδων τὰ στερεὰ σχήματα, ἐκ δὲ τούτων τὰ αἰσθητὰ σώματα· ὧν καὶ τὰ στοιχεῖα εἶναι δ', πῦρ, ὕδωρ, γῆν, ἀέρα· ἃ μεταβάλλειν καὶ τρέπεσθαι δι' ὅλων καὶ γίνεσθαι ἐξ αὐτῶν κόσμον ἔμψυχον, νοερόν, σφαιροειδῆ, μέσην περιέχοντα τὴν γῆν, καὶ αὐτὴν σφαιροειδῆ καὶ οἰκουμένην. εἶναι δὲ καὶ ἀντίποδας· καὶ τὰ ἡμῖν κάτω, ἐκείνοις ἄνω. ἰσόμοιρά τε εἶναι ἐν τῷ κόσμῳ φῶς καὶ σκότος, θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ ὑγρόν· ὧν κατ' ἐπικράτειαν θερμοῦ μὲν θέρος γίνεσθαι, ψυχροῦ δὲ χειμῶνα. ἐὰν δὲ ἰσομοιρῇ, τὰ κάλλιστα εἶναι τοῦ ἔτους· οὗ τὸ μὲν θάλλον ἔαρ ὑγιεινόν, τὸ δὲ φθίνον φθινόπωρον νοσερόν. ἀλλὰ καὶ τῆς ἡμέρας θάλλειν μὲν τὴν ἕω, φθίνειν δὲ τὴν ἑσπέραν· ὅθεν καὶ νοσερώτερον εἶναι. τόν τε περὶ τὴν γῆν ἀέρα ἄσειστον καὶ νοσερόν, καὶ τὰ ἐν αὐτῷ πάντα θνητά· τὸν δὲ ἀνωτάτω ἀεικίνητον εἶναι καὶ καθαρὸν καὶ ὑγιᾶ, καὶ πάντα τὰ ἐν αὐτῷ ἀθάνατα καὶ διὰ τοῦτο θεῖα· ἐπικρατεῖ γὰρ τὸ θερμὸν ἐν αὐτοῖς, ὅπερ ἐστὶ ζωῆς αἴτιον. τήν τε σελήνην λάμπεσθαι ὑφ' ἡλίου. καὶ ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν, κατὰ τὸ μετέχειν ἄνθρωπον θερμοῦ. εἱμαρμένην τε τῶν ὅλων καὶ κατὰ μέρος αἰτίαν εἶναι τῆς διοικήσεως. διήκειν τε ἀπὸ τοῦ ἡλίου ἀκτῖνα διὰ τοῦ αἰθέρος, τοῦ τε ψυχροῦ καὶ παχέος· ταύτην δὲ τὴν ἀκτῖνα καὶ εἰς τὰ βένθη δύεσθαι καὶ διὰ τοῦτο ζωοποιεῖν πάντα. τὰ λοιπὰ παρήκαμεν, ἵνα μὴ παρέλκωμεν. ὅτι τὰ πίπτοντα ἀπὸ τῆς τραπέζης μὴ ἀναιρεῖσθαι παρεκελεύετο Πυθαγόρας, ἢ διὰ τὸ μὴ ἐθίζεσθαι ἀκολάστως ἐσθίειν ἢ ὅτι ἐπὶ τελευτῇ τινος· Ἀριστοφάνης γὰρ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, μήτε δὲ τὰ ἐντὸς τῆς τραπέζης πίπτοντα ἀναιρεῖσθαι. μήτε λευκὸν ἀλεκτρυόνα ἐσθίειν, ὡς ἱερὸν τοῦ ἡλίου καὶ τὰς ὥρας μηνύοντα. τοὺς κυάμους δὲ ἀποτρέπεσθαι, ὅτι αἰδοίοις ἐοίκασι· καὶ τοὺς ἅλας παρατίθεσθαι πρὸς ὑπόμνησιν τοῦ δικαίου· οἱ γὰρ ἅλες πᾶν σῴζουσιν ὅ τι καὶ παραλάβωσι, καὶ γεγόνασιν ἐκ τῶν καθαρῶν ὑδάτων καὶ θαλάσσης. ἄρτον δὲ μὴ καταγνύειν, ὅτι ἐπὶ ἕνα οἱ παλαιοὶ ἐφοίτων· καὶ μὴ διαιρεῖν, ὃς συνάγει ἐφ' ἑαυτόν· ἢ ὅτι εἰς πόλεμον δειλίαν ἐμποιεῖ. Ἀριστοφῶν λέγει περὶ τῶν Πυθαγοριστῶν· καταβὰς εἰς τὴν δίαιταν αὐτῶν κάτω ἰδεῖν ἑκάστους, διαφέρειν δὲ πάμπολυ τοὺς Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γὰρ τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη δι' εὐσέβειαν. εὐχερῆ θεὸν λέγεις, εἰ τοῖς ῥύπου μεστοῖς ἥδεται ξυνών. λάχανά τε καὶ πίνουσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τούτοις ὕδωρ· φθεῖρας δὲ καὶ τρίβωνα τήν τ’ ἀλουσίαν οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων. καὶ παροιμία· σιωπηλότερος ἔσομαι καὶ τῶν Πυθαγόρᾳ τελεσθέντων. πενταετῆ γὰρ χρόνον ἤσκουν σιωπήν. τῶν δὲ Πυθαγορείων οἱ μὲν περὶ θεωρίαν καταγινόμενοι ἐκαλοῦντο σεβαστικοί, οἱ δὲ περὶ τὰ μαθήματα γεωμετρικοὶ καὶ μαθηματικοί. καὶ οἱ μὲν τῷ Πυθαγόρᾳ συγγινόμενοι ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι, οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί. ἐμψύχων δὲ ἀπείχοντο. ὅτι ἀπὸ τῶν Αἰγυπτίων ὁ Πυθαγόρας ἐξήνεγκε τὰ τῆς αὐτοῦ δόξης εἰς Ἕλληνας.

π 3125 Πυθέας, Ἀθηναῖος, ῥήτωρ, υἱὸς δὲ ἦν μυλωθροῦ, καὶ θρασὺς σφόδρα· φυγών τε Ἀθήνηθεν ἐκ τοῦ δεσμωτηρίου διὰ ὄφλημα εἰς Μακεδονίαν ἦλθεν, εἶτα ἐπανῆκε πάλιν. ἔγραψε λόγους δημηγορικοὺς καὶ δικανικοὺς καὶ ἄλλα τινά. ἀλλ’ οὐκ ἐκρίθη μετὰ τῶν λοιπῶν ῥητόρων, ὡς θρασὺς καὶ διεσπασμένος. ὅτι μύλωθρος λέγεται ὁ μυλῶνα κεκτημένος καὶ ἐργαζόμενος. καὶ ἐξ αὐτοῦ ῥῆμα μυλωθρῶ. οἱ δὲ ἰδιῶται μυλωνᾶν.

π 3126 Πυθέσθαι: τὸ ἐρωτῆσαι. μέσος ἀόριστος β′· ἀπὸ τοῦ πεύθω. Πυθέσθαι δὲ τὸ ἀκούειν.

π 3127 Πυθία: ἡ μαντεία.

π 3128 Πύθια καὶ Δήλια: φασὶ Πολυκράτη, τὸν Σάμου τύραννον, Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ πέμψαι εἰς θεοῦ, χρησόμενον εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸ ὡρισμένον· τὴν δὲ Πυθίαν ἀνελεῖν· ταῦτά σοι καὶ Πύθια καὶ Δήλια· βουλομένην δηλοῦν ὅτι ἔσχατα· μετ’ ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. Ἐπίκουρος δὲ ἔν τινι τῶν πρὸς Ἰδομενέα ἐπιστολῶν ταῦτα. λέγεται δὲ καὶ Πυθοῖ, τουτέστιν ἐν τοῖς Πυθίοις. Ἀριστοφάνης· Ὀλυμπιᾶσιν, ἐν Πύλαις, Πυθοῖ.

π 3129 Πυθιὰς βοά: ἡ μετ’ αὐλοῦ γινομένη βοή. τὸ Πύθιον μέλος. ἔνθεν καὶ πυθαύλης λέγεται. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα.

π 3130 Πύθιον: ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν, ὑπὸ Πεισιστράτου γεγονός, εἰς ὃ τοὺς τρίποδας ἐτίθεσαν οἱ τῷ κυκλίῳ χορῷ νικήσαντες τὰ Θαργήλια. καὶ Πύθιος, ὁ Ἀπόλλων.

π 3131 Πυθιονίκης: ὄνομα κύριον.

π 3132 Πυθμήν: τὸ ἔσχατον μέρος καὶ τελευταῖον παντὸς οὑτινοσοῦν σκεύους. καὶ Πυθμένας λόγων ἐκάλει Πρωταγόρας ὁ φιλόσοφος τὰς τῶν λόγων διαιρέσεις· οὗτος γὰρ διεῖλε πρῶτος τὸν λόγον εἰς δ′, εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν. ἄλλοι δὲ εἰς ζ′, διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, ἐπαγγελίαν, εὐχωλήν, κλῆσιν. Ἀλκιδάμας δὲ δ′ λόγους φησί· φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν.

π 3133 Πυθόληπτος: ὑπὸ τοῦ Πυθίου ληφθείς.

π 3134 Πυθόμενος: ἐρωτήσας.

π 3135 Πύθοντο: ἠρώτων καὶ ἤκουον.

π 3136 Πυθοῦ Χελιδόνος: παροιμία ἀπό τινος Χελιδόνος, θεολόγου καὶ τερατοσκόπου καὶ περὶ τελετῶν διειλεγμένου, ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ. οἱ δέ, ὅτι τὸ ἔαρ προσημαίνει.

π 3137 Πυθώ: Φωκὶς χώρα ἐστὶ τῆς Ἑλλάδος, περὶ ἣν πόλις ἡ καλουμένη Δελφοί· περὶ ἣν πόλιν ἦν ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ ἐκαλεῖτο Πυθώ· ἐν ᾧ χαλκοῦς τρίπους ἵδρυτο καὶ ὕπερθεν φιάλη, ἣ τὰς μαντικὰς εἶχε ψήφους, αἵτινες ἐρομένων τῶν μαντευομένων ἥλλοντο, καὶ ἡ Πυθία ἐμφορουμένη, ἤτοι ἐνθουσιῶσα, ἔλεγεν ἃ ἐξέφερεν ὁ Ἀπόλλων. ὅτι Δελφοὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐκλήθη διὰ τὸ τὸν Δελφύνην δράκοντα ἐκεῖ εὑρεθῆναι, ὃν ἀπέκτεινεν ὁ Ἀπόλλων· Πυθὼ δὲ διὰ τὸ ἐκεῖ σαπῆναι.

π 3138 Πύθω: σήπω. καὶ τὸ πυθόμενος, σηπόμενος. ἔνθεν καὶ ἡ Πυθία, διὰ τὸ ἐν ἐκείνῳ τῷ τόπῳ σαπῆναι τὸ τοῦ δράκοντος σῶμα. Λύκος δὲ ὁ Νεαπολίτης καὶ τὸ πῦον ἐντεῦθεν ὀνομασθῆναί φησιν· ἔστι γὰρ σεσηπὸς αἷμα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

π 3139 Πύθων, Βυζάντιος, ῥήτωρ· ὃς φυγὼν ἐν Μακεδονίᾳ διέτριβε καὶ πολλοὺς προδότας ἔπεισε γενέσθαι καὶ συνεργοὺς πρὸς πάντα, καὶ πρὸς τὰς διαφθορὰς τῶν πολεμίων ἐχρῆτο.

π 3140 Πύθωνος: δαιμονίου μαντικοῦ. τάς τε πνεύματι Πύθωνος ἐνθουσιώσας καὶ φαντασίαν κυήσεως παρεχομένας τῇ τοῦ δαιμονίου περιφορᾷ ἠξίου τὸ ἐσόμενον προαγορεῦσαι. οἱ δὲ τῶν δαιμόνων κάτοχοι ἔφασκον τὴν νίκην Μήδοις παρέσεσθαι.

π 3141 Πυθοίατο: μάθοιεν.

π 3142 Πύκα: συχνῶς, ἐπιμελῶς.

π 3143 Πύκαζε· Σοφοκλῆς· πύκαζε θᾶσσον· οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.

π 3144 Πυκάζεται: σκεπάζεται, κοσμεῖται.

π 3145 Πυκάζει: καλύπτει, σκεπάζει. καὶ Πυκάζουσι, σκιάζουσι, στεφανοῦσι. καὶ ἐν Ἐπιγράμμασι· λουσάμενοι, Προδόκη, πυκασώμεθα καὶ τὸν ἄκρατον ἕλκωμεν.

π 3146 Πυκάζουσι: τουτέστι πεπυκνωμένοις, στενοχωρουμένοις. Δαβίδ· ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.

π 3147 Πύκασεν: ἐκόσμησε.

π 3148 Πυκασμός: δασύτης.

π 3149 Πυκινή: πυκνή. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ δυνατή. ταῦτα διαιτῆσαι πυκινή.

π 3150 Πυκνάζεις: συχνάζεις.

π 3151 Πύκνη: ἡ τῶν Ἀθηναίων ἐκκλησία οὕτως ἐκαλεῖτο. Κλείδημος δέ φησι Πυκνὰν ὀνομασθῆναι διὰ τὸ τὴν συνοίκησιν πυκνουμένην εἶναι.

π 3152 Πυκνί: ὡς ἐν τῷ Ἀριστοφάνει· πλὴν μὴ ’ν τῇ Πυκνί. καὶ Πυκνίτης· δῆμος πυκνίτης. Πνύξ, τόπος Ἀθήνησιν, ἔνθα ἐκκλησίαζον οἱ Ἀθηναῖοι. ὥσπερ δὲ πολίτην τῆς Πυκνὸς Πυκνίτην εἶπε. Πνὺξ δὲ λέγεται παρὰ τὸ πυκνοῦσθαι. καὶ τὸ ἐν Ἀθήναις δὲ δικαστήριον Πνὺξ ἐκαλεῖτο.

π 3153 Πυκνός: ὁ δυνατός.

π 3154 Πυκνότης: σύνεσις, φρόνησις. χοὕτω μὲν ἂν εὖ ποιοῖς, εἴ σοι πυκνότης ἔνεστι.

π 3155 Πύκνωσις κατὰ παραστάτην καὶ ἐπιστάτην. τουτέστι πύκνωσις κατὰ μῆκος καὶ βάθος. κατέχει δὲ ὁ πεπυκνωμένος ἀνὴρ πήχεις β′, ὁ δὲ ἁπλῶς ταττόμενος πήχεις δ′.

π 3156 Πυκτεύειν: εἶδος γυμνασίου καὶ παλαίστρας.

π 3157 Πύκτης: παγκρατιαστής, ἀθλητής. καὶ Πυκτεῖον, ἐν ᾧ οἱ πύκται ἀγωνίζονται. Πυκτίον δὲ τὸ πινακίδιον. καὶ Πυκτίζω.

π 3158 Πυλαγόραι: οἱ πεμπόμενοι εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων εἰς τὴν Πυλαίαν. καὶ κατὰ πόλιν δὲ ἔπεμπον τοὺς θύσοντας καὶ συνεδρεύσοντας. ἦσαν δὲ οἱ πεμπόμενοι Πυλαγόραι καὶ Ἱερομνήμονες. λέγουσι δέ, ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ, καὶ ἐξ αὐτοῦ τὸ ὄνομα εἶναι. ἀπῄεσαν δὲ καὶ εἰς Δελφούς, ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις.

π 3159 Πυλάδης, Κίλιξ ἀπὸ κώμης Μησταρνῶν. ἔγραψε περὶ ὀρχήσεως τῆς Ἰταλικῆς, ἥτις καὶ ὑπ’ αὐτοῦ εὑρέθη, ἀπὸ τῆς κωμικῆς καλουμένης ὀρχήσεως, ἣ ἐκαλεῖτο κόρδαξ· καὶ τῆς τραγικῆς, ἣ ἐκαλεῖτο σίκιννις· καὶ τῆς σατυρικῆς, ἥτις ἐμμέλεια.

π 3160 Πυλάρτου: τοῦ τὰς πύλας ἰσχυρῶς ἐπαρτῶντος. καὶ Πυλάρταο, ὁμοίως.

π 3161 Πύλαι καὶ Πυλαία καὶ Πυλαγόρας: Πύλαι μὲν καλοῦνται αἱ Θερμοπύλαι. ἐκλήθησαν δὲ οὕτως διὰ τὸ στενὴν εἶναι ταύτην εἴσοδον ἀπὸ Θετταλίας εἰς τὴν Φωκίδα πορευομένοις. Πυλαία δὲ

ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων. ἐπέμποντο δὲ ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμφικτυονίας τινές, οἵπερ ἐκαλοῦντο Πυλαγόραι.

π 3162 Πύλαι δικαιοσύνης: αἱ διάφοροι τῆς ἀρετῆς ἰδέαι· δι' ἐκείνων γὰρ δυνατὸν ἀξίως ὑμνῆσαι τὸν τῶν ὅλων θεόν. καὶ Δαβίδ· ἀνοίξατέ μοι πύλας δικαιοσύνης.

π 3163 Πυλαῖος: ὄνομα κύριον.

π 3164 Πυλαιμένης: ὄνομα κύριον.

π 3165 Πυλαιστάτους: τοὺς μηδὲν ὑγιὲς μήτε λέγοντας μήτε πράσσοντας· διὰ τὸ παραγενέσθαι τοιούτους τινὰς ἀνθρώπους εἰς τὸν προειρημένον τόπον.

π 3166 Πυλεῶνος: τοῦ πυλῶνος.

π 3167 Πύλιος: ἐκ Πύλου.

π 3168 Πύλη: ἐπὶ τείχους παρὰ Θουκυδίδῃ· θύρα δὲ ἐπὶ οἴκου.

π 3169 Πύλη ἱππήλατος: δι' ἧς εἰσεληλύθεισαν. Πύλας οὐρανοῦ Ὅμηρος τὰ νέφη λέγει.

π 3170 Πύλῳ: πὰρ Ὁμήρῳ ἀντὶ τοῦ ἐν πύλῃ. ἐν πύλῳ, ἐν νεκύεσσιν. ὡς δείελον τὴν δείλην· καὶ ἕσπερον τὴν ἑσπέραν.

π 3171 Πυλωρεῖ: φυλάσσει. Πυλωρὸς γὰρ ὁ φύλαξ.

π 3172 Πύματος: ἔσχατος.

π 3173 Πυνθάνεσθαι: ἀκούειν, μανθάνειν, διδάσκεσθαι, ἱστορεῖν, ἐρωτᾶν ἢ ἕτερόν τι σημαίνει, παραπλήσιον μὲν τοῦ ἐρωτᾶν, οὐ μὴν αὐτὸ τὸ ἐρωτᾶν· ἔστι γάρ τις, ὡς δῆλον, διαφορὰ μάλιστα παρὰ τοῖς διαλεκτικοῖς μεταξὺ πύσματος καὶ ἐρωτήματος. τὸ πυνθάνεσθαι παρὰ τοῖς ῥήτορσι καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ ἀκούειν καὶ μανθάνειν. πυνθανόμην Ἰθάκης γε. καὶ πάλιν· αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι. καί, πεύθετο γὰρ Κύπρονδε μέγα κλέος. καί, πευθόμενος, ᾗχι ἕκαστος ἀπώλετο. καί, κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων. ἐν γὰρ τούτοις ἅπασιν ἐπὶ τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεσθαι. καὶ Αἰσχίνης δὲ ἐν τῷ Περὶ τῆς παραπρεσβείας· τούτῳ συμβαλεῖν πυνθανόμενος. καὶ Δείναρχος ἐν τῷ κατὰ Φιλοκλέους· εὐτυχεῖτε, ὅτι οὐκ ἐν μείζονι καιρῷ ἐπύθεσθε τὴν αὐτοῦ αἰσχροκέρδειαν. καὶ Δημοσθένης ἐν τῷ Περὶ τῆς παραπρεσβείας· οὗτος ἀπήγγειλε τὰ ψευδῆ· ὑμεῖς ἐπιστεύσατε· οἱ Φωκεῖς ἐπύθοντο.

π 3174 Πυνθάνομαι· γενικῇ. ἐρωτῶ. καὶ Πυνθανόμενος· αἰτιατικῇ. ἀντὶ τοῦ ἀκούων.

π 3175 Πυνθάνομαι: τὸ μανθάνω· γενικῇ. ἡδέως δ' ἂν πυθοίμην τῶν οὕτω διακειμένων. πυνθάνομαι δὲ τὸ ἐρωτῶ· αἰτιατικῇ.

π 3176 Πύξ: πυγμήν, γρόνθον. ὁ δὲ πὺξ παίει αὐτὸν κατὰ τῶν προσώπων. οἱ δὲ Φράγκοι, ἵνα ἐσκηνημένοι ἐτύγχανον, πύξ τε καὶ ἐπὶ πολὺ βόθρους ὀρύξαντες ταύτῃ ἀσφαλέστατα ἔμενον.

π 3177 Πυξίς: τὸ πινακίδιον.

π 3178 Πύον: τὸ ἕλκος.

π 3179 Πῦος: τὸ πρὸ τοῦ γάλακτος ἀμελχθέν, τὸ μεταβεβληκὸς αἷμα. αὐτὸ τὸ γάλα, τὸ γαλακτῶδες ὑγρόν. γάλα νέον μετὰ χθεσινοῦ γάλακτος ἑψηθὲν ἔνιοι. Ἀριστοφάνης· ἔστι δὲ καὶ πῦος τις ἔνδον καὶ λαγῷα τέτταρα.

π 3180 Πῦρ· ὅτι οἱ Πέρσαι τὸ πῦρ ὡς θεὸν ἐσέβοντο. καὶ ζήτει ἐν τῷ Κάνωπος.

π 3181 Πῦρ· ὅτι τὰ φύσει τρεφόμενα καὶ διὰ τοῦτο αὐξόμενα ὅρον ἔχει τῆς αὐξήσεως, καὶ ὥρισται αὐτῶν ἡ ἐπὶ τὸ μέτρον αὔξησις· τοῦ δὲ πυρὸς οὐχ ὥρισται οὔτε ἡ τροφὴ οὔτε ἡ αὔξησις. οὐκ ἄρα τὸ πῦρ ὁμοίως τοῖς ἐμψύχοις τρέφεται καὶ αὔξεται. εἰ δὲ μὴ ὁμοίως, οὐκ ἄρα οὐδὲ τοῖς ἐμψύχοις αἴτιον εἴη τῆς τροφῆς ἢ τῆς αὐξήσεως. ἡ δὲ τοιαύτη τοῦ πυρὸς κίνησις γένεσις ἂν μᾶλλον εἴη ἢ αὔξησις ἢ τροφή. ὑπενοήθη δὲ τοῦτο μόνον τῶν στοιχείων τρέφεσθαί τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὔξεσθαι, διότι ἐπὶ μὲν τῶν ἄλλων ἐναργῶς ὁ πλεονασμὸς πρόθεσίς ἐστι· προστιθεμένου γὰρ ὕδατος ὕδατι καὶ γῆς γῇ, οὕτως γίνεται ὁ πλεονασμός. τὸ δὲ πῦρ πλεονάζει οὐ πυρὸς προστιθεμένου, ἀλλʼ ἀνομοιοειδοῦς ὕλης, οἷον ξύλων ἢ τῶν τοιούτων, καὶ τούτων ὑπὸ τῆς τοῦ πυρὸς δυνάμεως μεταβληθέντων εἰς τὴν αὐτὴν οὐσίαν, οὕτως ὁ πλεονασμὸς τοῦ πυρὸς γίνεται.

π 3182 Πυρά: καύματα.

π 3183 Πύρρα: μία πόλις τῶν ἐν Λέσβῳ.

π 3184 Πυράγρα: ἐργαλεῖον χαλκευτικόν. ζήτει ἐν τῷ περίγρα σαφέστερον.

π 3185 Πυράγραν: καρκίνον, πάγουρον. παρὰ τὸ ἐκ τοῦ πυρὸς ἄγειν καὶ ἀγρεύειν, ὅ ἐστι λαμβάνειν.

π 3186 Πυρράζει ὁ οὐρανός.

π 3187 Πυρράκης: ξανθός. καὶ Πυρράκων, ὁμοίως.

π 3188 Πυρακτῶν: ἐμπυρσεύων, σφοδρῶς καίων.

π 3189 Πυραμειδής: πυροειδής.

π 3190 Πυραμίς: οἰκία τις. ὅτι τὴν πυράμην ἄμην λέγομεν ἡμεῖς, οὐκ ὀρθῶς.

π 3191 Πύραμος: ὄνομα τόπου. καὶ ὁ ποταμὸς Κιλικίας, οὗ τὸ εὖρος στάδιον.

π 3192 Πυραμοῦς: εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυροῦ πεφρυγμένου, ὡς σησαμοῦς ὁ διὰ σησαμῆς. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς ἐν τοῖς συμποσίοις, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ταῦτα ἐλάμβανεν ἔπαθλον. ἡμέτερος ὁ πυραμοῦς.

π 3193 Πυράνδρου μηχανήματα: οὗτος ἐγένετο πονηρὸς καὶ συκοφάντης.

π 3194 Πυραύστου μόρον: πτηνόν ἐστι ζωΰφιον, ὃ προσιπτάμενον τοῖς λύχνοις καίεται. καὶ Αἰσχύλος· δέδοικα μόρον κάρτα πυραύστου. μόρον δὲ εἴρηται ἐπὶ τῶν ὀλιγοχρονίων.

π 3195 Πυράφλεκτος: ὅτε δηλοῖ τὸ περὶ τὴν θεοτόκον θαῦμα λέγεται πυράφλεκτος· ὡς ἐν τῷ, βάτος ἐν ὄρει πυράφλεκτος. ὅτε δὲ τὴν ἐξαφθεῖσαν Χαλδαϊκὴν κάμινον, λέγεται πυρίφλεκτος· ὡς ἐν τῷ, κάμινον παῖδες πυρίφλεκτον πάλαι δροσοβολοῦσαν ἀπέδειξαν.

π 3196 Πυργαῖος.

π 3197 Πυργηδόν: στοιχηδόν, κατὰ τάξιν.

π 3198 Πυργηρούμενοι: τὰ τείχη φυλάττοντες.

π 3199 Πυργιώτης: ἀπὸ τόπου.

π 3200 Πυργίσκοι καὶ Θησαυροφυλάκια: σκεύη κατʼ οἶκον. καὶ Ἀποπυργίζω. Διαγόρας ἔγραψε τοὺς Ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης· ἄθεος γὰρ ἦν τὸ πρότερον.

π 3201 Πυργοβάρεις: προμαχῶνες, οἱ ὀχυρώτεροι τῶν πύργων. λύσις ὀνείρου· πύργος πεσὼν δείκνυσιν· ἄνω ζήτει.

π 3202 Πυργοῦται: ὑψοῦται. Δαμάσκιος· τοῖς ἐπὶ μήκιστον εὖ μάλα πυργώσασι τὴν φιλοσοφίαν, τοῖς περὶ Πυθαγόραν, Πλάτωνα· τοῖς δὲ νεωστὶ Πορφυρίῳ, Ἰαμβλίχῳ, Συριανῷ.

π 3203 Πυργοφόρος: ἡ Ῥέα. ἐν Ἐπιγράμμασι· Ῥείης πυργοφόρου δείκελον εἰσορόων. ἐν Ἐπιγράμμασι· ὁ τραγικὸν φρόνημα καὶ ὀφρυόεσσαν ἀοιδὴν πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ, Αἰσχύλος.

π 3204 Πυργώσας: ὑψώσας, αὐξήσας, μεγαλύνας, ἐπὶ τὸ σεμνότερον ἀγαγὼν τὰ ποιήματα.

π 3205 Πυργώτης: ὄνομα κύριον.

π 3206 Πύργοι: τάξεις.

π 3207 Πύργοι· ζήτει ἐν τῷ Βυζάντιον.

π 3208 Πυραί: πυρκαϊαί.

π 3209 Πυρραῖς γένυσι: ξανθαῖς θριξί.

π 3210 Πυραίχμης.

π 3211 Πῦρ ἐπὶ πυρί: παροιμία, ἧς μέμνηται καὶ Πλάτων. κακὸν ἐπὶ κακῷ.

π 3212 Πυρεῖον: θυμιατήριον. οἱ δὲ Ἕλληνες κατέλιπον πυρεῖα καὶ δᾷδα, δόντες Σίνωνι σκοπὸν ἐσόμενον· ὁ δὲ τὰ πυρεῖα καὶ τὸν πυρσὸν ἀνίσχει τοῖς πολεμίοις. ὁ δὲ Ἡράκλειος τάς τε πόλεις καθῄρει καὶ τὰ πυρεῖα διέστρεφε τῶν Περσῶν. καὶ Σοφοκλῆς· πυρεῖ' ὁμοῦ τάδε. κείνου τὸ θησαύρισμα σημαίνει τόδε. τὰ δακτυλικὰ διὰ τοῦ ι.

π 3213 Πυρήνη: ὄρος παρῆκον ἑσπερίαν Ἰβηρίαν, ὅπερ ἐστιν ἀσφάλεια τοῦ τόπου. καὶ Πυρηναῖα ὄρη.

π 3214 Πυρηφόρον καὶ Πυρφόρον.

π 3215 Πυρρίας· Πυρρίαις, δούλοις· ὄνομα γὰρ δούλου ὁ Πυρρίας.

π 3216 Πυρίβια: τὰ εἰς τὸ πῦρ πίπτοντα ζωΰφια. τῶν γὰρ ζῴων τὰ μὲν χωρὶς μίξεως γίνονται, ὡς τὰ πυρίβια καὶ ὁ φοίνιξ τὸ ὄρνεον καὶ αἱ εὐλαί.

π 3217 Πυριήτης: λίθος.

π 3218 Πυριλαμπίς: πτηνόν τι μικρόν, ὃ ἐν τῷ σκότει λάμπει, καλεῖται δὲ ὑπ' ἐνίων λαμπυρίς.

π 3219 Πυριλάμπης: ὄνομα κύριον.

π 3220 Πύρινος πόλεμος: ὁ Ῥωμαίων πρὸς Κελτίβηρας συσταθείς· θαυμαστὴν γὰρ ἔσχε τὴν ἰδιότητα τήν τε συνέχειαν τῶν ἀγώνων· τοὺς γὰρ κατὰ τὴν Ἑλλάδα πολέμους καὶ τοὺς κατὰ τὴν Ἀσίαν, ὡς ἐπίπαν μία μάχη κρίνει, σπανίως δὲ δευτέρα, καὶ τὰς μάχας αὐτὰς εἷς καιρὸς ὁ κατὰ τὴν πρώτην ἔφοδον καὶ σύμπτωσιν τῆς δυνάμεως· κατὰ δὲ τοῦτον τὸν πόλεμον τἀναντία συνέβαινε τοῖς προειρημένοις. τοὺς μὲν γὰρ κινδύνους ὡς ἐπίπαν ἡ νὺξ διέλυε, τῶν ἀνδρῶν οὔτ' εἴκειν τῆς ψυχῆς οὔτε παρακαθιέναι τοῖς σώμασι βουλομένων διὰ τὸν κόπον, ἀλλ' ἐξ ὑποστροφῆς καὶ μεταμελείας αὖθις ἄλλας ἀρχὰς ποιουμένων· τόν γε μὴν ὅλον πόλεμον καὶ τὴν συνέχειαν τῶν ἐκ διατάξεως διακρίσεων ὁ χειμὼν ἐπὶ ποσὸν διεῖργε. καθόλου γὰρ εἴ τις διανοηθείη πύρινον πόλεμον, οὐκ ἂν ἕτερον ἢ τοῦτον νοήσειεν.

π 3221 Πυρίνῳ σίτῳ· γέρανοι γεωργοῦ κατενέμοντο χώρην ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ. Πυρὸς γὰρ ὁ σῖτος. Ὅμηρος· πυροί τε ζειαί τε ἰδ' εὐρυφυὲς κρῖ λευκόν. ἔζων ἐν πᾶσι λαγῴοις καὶ πύῳ καὶ πυριάτῃ, ἄξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.

π 3222 Πυρίτης ἄρτος: ὁ τοῦ σίτου. καὶ θηλυκῶς Πυρῖτις λίθος. ὅτι τὸ ἐκ πυρίτου λίθου φῶς ἄφαντον λέγεται καὶ ζήτει ἐν τῷ ἄφαντον φῶς.

π 3223 Πυρίφλεκτος· ὡς ἐν τῷ, κάμινον παῖδες πυρίφλεκτον πάλαι. πυράφλεκτος δέ, ὡς ἐν τῷ, βάτος ἐν ὄρει πυράφλεκτος. ἐφλέγετο γάρ, οὐ κατεφλέγετο δέ.

π 3224 Πυρρίχαις: ταῖς ἐνοπλίοις ὀρχήσεσι.

π 3225 Πυρρίχη: εἶδος ὀρχήσεως. τρία δέ εἰσιν εἴδη ὀρχήσεως, πυρρίχη, σίκιννις καὶ κορδακισμός. Βάβριος· ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν μὴ καταγέλαστον μήτι πυρρίχην παίζειν. ἡ κάμηλος. πυρρίχην ἔμαθε τὴν Κινησίου. οὗτος ὁ Κινησίας διθυραμβοποιὸς ἦν, ἐποίησε δὲ πύρριχον. ἢ ὅτι ἐν τοῖς χοροῖς πολλῇ κινήσει ἐχρῆτο. καὶ ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν, ὡς εἶεν ἀχορήγητοι. ἦν δὲ καὶ περὶ τὸ σῶμα ὀκνηρὸς ἅμα καὶ κατεσκελετευκώς. δοκεῖ δὲ καὶ κατησχημονηκέναι τοῦ τῆς Ἑκάτης ἀγάλματος, ἤγουν κατατῖλαι. ἦν δὲ Θηβαῖος. Ἀγαθίας· ὁ δὲ Ναρσῆς συνεκρότει τὰς δυνάμεις καὶ ἐπερρώννυε τὸν θυμὸν ταῖς καθημέραν μελέταις, τροχάζειν ἀναγκάζων καὶ ὑπὲρ τῶν ἵππων ἐν κόσμῳ ἀναπάλλεσθαι ἔς τε πυρρίχην τινὰ

ἐνόπλιον περιδινεῖσθαι καὶ θαμὰ τῇ σάλπιγγι καταβομβεῖσθαι τὸ ἐνυάλιον ἠχούσῃ. καὶ Πυρριχίζειν, μετὰ ὅπλων ὀρχεῖσθαι. καὶ Πυρρίχιος ὄρχησις.

π 3226 Πυρκαϊά: ἡ φλόξ.

π 3227 Πύρνος: τὸ ἀπόκλασμα τοῦ ἄρτου.

π 3228 Πυρόεσσαν: ἐπίπνουν, πῦρ πνέουσαν.

π 3229 Πυρόεις: ὁ πυρρός.

π 3230 Πυροπίπας: ὁ Κλέων· διεβάλλετο γὰρ ὡς παιδεραστής. ἢ διὰ τὴν ἐν τῷ πρυτανείῳ σίτησιν. Πυρὸς γὰρ ὁ σῖτος.

π 3231 Πυρορραγής: σαθρός, ἄχρηστος. ἀπὸ τοῦ ἐν ταῖς καμίνοις διαρρησσομένου κεράμου. Πυρορραγῆ κεράμια καλεῖται, ὅσα ἐν τῷ πυρὶ ῥήγνυνται ἐν τῷ ὀπτᾶσθαι. Κρατῖνος ἐν Ὥραις· ἴσως πυρορραγὲς καὶ κακῶς ὠπτημένον. ὁ δὲ κέραμος πυρορραγὴς γενόμενος σαθρὸν ἠχεῖ.

π 3232 Πύρρος· οὗτος διέβη τὸ δεύτερον ἐς Ἰταλίαν, οὐ χωρούντων αὐτῷ τῶν ἐν Σικελίᾳ πραγμάτων κατὰ νοῦν, διὰ τὸ μὴ βασιλικὴν φανῆναι τὴν ἡγεμονίαν, ἀλλὰ δεσποτικὴν ταῖς πόλεσιν. ἐσαχθεὶς γὰρ ἐς Συρακούσας ὑπό τε Σωσιστράτου κρατοῦντος τῆς πόλεως τότε καὶ Θοίνωνος τοῦ φρουράρχου, παραλαβὼν παρ᾽ ἐκείνων χρήματα καὶ ναῦς χαλκεμβόλους ὁμοῦ τι σʹ καὶ πᾶσαν ὑφ᾽ ἑαυτῷ ποιησάμενος Σικελίαν πλὴν Λιλυβαίου πόλεως, ἣν ἔτι μόνην Καρχηδόνιοι κατεῖχον, ἐς αὐθάδειαν τυραννικὴν ἐτρέπετο. ἀμηχανοῦντα δὲ αὐτὸν καὶ πόρους παντοδαποὺς ἐπιζητοῦντα ὁρῶντες αὐτὸν οἱ κάκιστοι καὶ ἀνοσιώτατοι τῶν φίλων, Εὐήγορος Θεοδώρου καὶ Βάλακρος Νικάνδρου καὶ Δείναρχος Νικίου, τῶν ἀθέων καὶ ἐξαγίστων δογμάτων ζηλωταί, πόρον ὑποτίθενται χρημάτων ἀνοσίων, τοὺς ἱεροὺς ἀνοῖξαι τῆς Περσεφόνης θησαυρούς· ἦν γὰρ ἱερὸν πολύχρυσον, ἐκ παντὸς τοῦ χρόνου πεφυλαγμένον ἄθικτον ἔχον· ἐν ᾧ χρυσός τις ἄβυσσος, ἀόρατος τοῖς πολλοῖς κατὰ γῆς κείμενος. ὑπὸ τούτων ἐξαπατηθεὶς τῶν κολάκων καὶ τὴν ἀνάγκην κρείττονα παντὸς ἡγησάμενος τὴν γνώμην ἀνδράσι διακόνοις τῆς ἱεροσυλίας ἐχρήσατο καὶ τὸν χρυσὸν ναυσὶν ἐνθέμενος ἀπέστειλεν ἐς Τάραντα. ἡ δὲ δικαία πρόνοια τὴν αὑτῆς δύναμιν ἀπεδείξατο· ἐναυάγησαν γὰρ αἱ νῆες, καὶ ὁ χρυσὸς ἀπεδόθη εἰς τὸ ἱερόν.

π 3233 Πύρρος: ὄνομα κύριον.

π 3234 Πυρός: ὁ σῖτος. Ὅμηρος· πυροί τε ζειαί τε. οἱ δὲ ἑφθοὶ πυροὶ πρὸς συνουσίαν εἰσὶν ἐγερτικοί.

π 3235 Πυρρός: ὁ ξανθός. καὶ παροιμία· ἅπαξ πυρρὸς καὶ μὴ δέκατον χλωρός. ἐπὶ τῶν δανειζόντων.

π 3236 Πυρὸς μένος: πῦρ περιφραστικῶς.

π 3237 Πυροφόρον: σιτοφόρον.

π 3238 Πύρρων, Πλειστάρχου, Ἠλεῖος, φιλόσοφος· ὃς ἦν ἐπὶ Φιλίππου τοῦ Μακεδόνος, κατὰ τὴν ριαʹ Ὀλυμπιάδα καὶ ἐπέκεινα. καὶ πρότερον μὲν ἦν ζωγράφος, ὕστερον δὲ ὥρμησεν ἐπὶ φιλοσοφίαν καὶ διήκουσε Βρύσωνος, τοῦ Κλεινομάχου μαθητοῦ, εἶτα Ἀλεξάνδρου, τοῦ Μητροδώρου μαθητοῦ, τοῦ Χίου, οὗ διδάσκαλος ἦν Μητρόδωρος ὁ Ἀβδηρίτης. ἐδόξασε δὲ μηδὲν φύσει αἰσχρὸν ἢ καλόν, ἀλλὰ ἔθει καὶ νόμῳ.

π 3239 Πύρρων, Φλιάσιος, Τιμάρχου παῖς, μαθητὴς Τίμωνος φιλοσόφου.

π 3240 Πυρῶν: φλέγων, ἢ καίων.

π 3241 Πυρρώνειοι: οἱ τὰ τοῦ Πύρρωνος φρονοῦντες αἱρετικοὶ οὕτως ἐκαλοῦντο ἀπὸ τοῦ διδασκάλου, ἀπορητικοί τε καὶ σκεπτικοί, ἐφεκτικοί τε καὶ ζητητικοί. ζητητικοὶ μὲν ἀπὸ τοῦ πάντοτε ζητεῖν τὴν ἀλήθειαν, σκεπτικοὶ δὲ ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ καὶ μηδέποτε εὑρίσκειν, ἐφεκτικοὶ δὲ ἀπὸ τοῦ μετὰ τὴν ζήτησιν πάθους, λέγω δὴ τὴν ἐποχήν· ἀπορητικοὶ δὲ ἀπὸ τοῦ τοὺς δογματικοὺς ἀπορεῖν καὶ αὐτούς. Θεοδόσιος δὲ ἐν τοῖς Σκεπτικοῖς οὔ φησι Πυρρώνειον καλεῖσθαι τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκεπτικόν· εἰ γὰρ τὸ καθ’ ἕτερον κίνημα τῆς διανοίας ἄληπτόν ἐστιν, οὐκ εἰσόμεθα τὴν Πύρρωνος διάθεσιν· μὴ εἰδότες δὲ οὐδὲ Πυρρώνειοι καλοίμεθ’ ἄν. πρὸς τῷ μηδὲ πρῶτον εὑρηκέναι τὴν σκεπτικὴν Πύρρωνα μηδὲ ἔχειν τι δόγμα. λέγοιτο δ’ ἂν Πυρρώνειος ὁμότροπος ταύτης τῆς αἱρέσεως. κατῆρξεν οὖν πρῶτος τῆς σκεπτικῆς Ὅμηρος· οὐ γὰρ ὁριστικῶς δογματίζει περὶ τὴν ἀπόφασιν. καὶ οἱ ζ′ δὲ σοφοὶ σκεπτικοί εἰσιν· οἷον τὸ μηδὲν ἄγαν, καὶ τὰ λοιπά. ἀλλὰ καὶ Ἀρχίλοχος καὶ Εὐριπίδης. ἐν οἷς Ἀρχίλοχός φησι· τοῖος ἀνθρώποις νοῦς γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἡμέρην ἄγει. καὶ Εὐριπίδης· τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς φρονεῖν λέγουσι· σοῦ γὰρ ἐξηρτήμεθα· δρῶμέν τε τοιαῦθ’ ἃ δὴ τυγχάνεις θέλων.

π 3242 Πυρρώνιος: ὄνομα κύριον.

π 3243 Πύρρωνος: ὄνομα κύριον.

π 3244 Πύρωσον τοὺς νεφρούς μου: ἀντὶ τοῦ ...

π 3245 Πῦρ παλάμη: ὁ ταχέως τι ἐπινοῶν, καὶ παλαμώμενος ἴσα πυρί.

π 3246 Πυρπολεῖται: καίεται, ἐμπυρίζεται.

π 3247 Πυρσεύει: πῦρ ἐξάπτει. καὶ Πυρσεύω σοι τὴν σωτηρίαν, ἀντὶ τοῦ ἐμφαίνω καὶ ἀνάπτω καὶ ἄνωθεν δεικνύω τὸ κάλλιστον, οἷά τις πυρσὸς καὶ φρυκτωρία ἄνωθεν ἐπιδεικνύουσα τὸ σῷζον τοῖς εἰς λιμένα καὶ ὅρμον ἐπειγομένοις. καὶ φρυκτωρία μέν ἐστιν αὐτὴ ἡ τοῦ δεικνύειν ἐνέργεια, πυρσὸς δὲ καὶ φρυκτὸς καὶ φρυκτωρήμενον αὐτὸ τὸ δεικνυόμενον, ὁ δὲ δεικνὺς καὶ ἐνεργῶν φρυκτωρός. τὸ δὲ ῥῆμα φρυκτωρεῖ, ἐξ οὗ ἡ μετοχὴ φρυκτωρῶν.

π 3248 Πυρσεύσασαν: φλέξασαν.

π 3249 Πυρσοί: λαμπάδες, πυρκαϊαί, λαμπτῆρες, φρυκτωρίαι.

π 3250 Πυρσουρίδας· ὅτι Περσεὺς ὁ Μακεδὼν κατὰ πᾶσαν Μακεδονίαν κατασκευασάμενος πυρσουρίδας διὰ τούτων ὀξέως ἐμάνθανε τὰ πανταχῇ γινόμενα. οὕτως οἱ νῦν φανοὶ οἱ τὴν τῶν βαρβάρων ἔφοδον προσημαίνοντες.

π 3251 Πυρφόρος: πῦρ φέρων. πυρφόρους δὲ ἔλεγον τοὺς ἱερέας τοὺς ἐπιβώμιον πῦρ ἀνάπτοντας. ἐν τοῖς οὖν πολέμοις εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι. ἐπὶ δὲ τῶν παντελῶς ἡττηθέντων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ, εἰώθασιν ὑπερβολῇ χρώμενοι οὕτως λέγειν, ὅτι οὕτως ἀπώλοντο, ὥστε οὐδὲ πυρφόρος (ταὐτὸν δὲ εἰπεῖν ἱερεύς) ὑπελείφθη τῷ στρατῷ.

π 3252 Πυρφόρος: ᾧ ἐχρήσατο Πασιστράτης ὁ τῶν Ῥοδίων ναύαρχος. ἦν δὲ κημός· ἐξ ἑκατέρου δὲ τοῦ μέρους τῆς πρώρας ἀγκύλαι δύο παρέκειντο παρὰ τὴν ἐντὸς ἐπιφάνειαν τῶν τοίχων, εἰς ἃς ἐνηρμόζοντο κοντοὶ προτείνοντες τοῖς κύμασιν εἰς θάλατταν· ἐπὶ δὲ τὸ τούτων ἄκρον ὁ κημὸς ἁλύσει σιδηρᾷ προσήρτητο πλήρης πυρός, ὥστε κατὰ τὰς ἐμβολὰς καὶ παραβολὰς εἰς μὲν τὴν πολεμίαν ναῦν ἐκταράττεσθαι πῦρ, ἀπὸ δὲ τῆς οἰκείας πολὺν ἀφεστάναι τόπον, διὰ τὴν ἔγκλισιν.

π 3253 Πύσει: σήψει. Ὅμηρος· σέο δ’ ὀστέα πύσει ἄρουρα, κειμένου ἐν Τροίῃ. σημειωτέον, ὅτι τῶν ἐπὶ ξένης τελευτώντων οὐκ ἀπεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας.

π 3254 Πύσμα: ἐρώτημα. ὅτι διαφέρει πύσμα καὶ ἐρώτημα καὶ ἀξίωμα. καὶ ζήτει ἐν τῷ ἀξίωμα.

π 3255 Πύσματα· ὅτι τὰς ἐρωτήσεις, τὰς τί ἐστι τὸ προκείμενον ἐξεταζούσας, πύσματα ἔθος λέγειν τοῖς νεωτέροις. οἷον, τί ἐστιν ἄνθρωπος. διαλεκτικὴ δὲ πρότασίς ἐστι, πρὸς ἣν ὁ ἐρωτώμενος δύναται ἀποκρίνασθαι ναὶ ἢ οὔ.

π 3256 Πύστεις: ἐρωτήσεις. πάσης ἐρωτήσεως καὶ πύστεως ὁ χρησμὸς ἀνέστελλεν αὐτούς. Πύστις καὶ ἡ φήμη. πύστιν κατ’ ἐσθλὴν ὕδατος παιωνίου ἦλθε πόθ’ ἑρπύζουσα σὺν δρυὸς ξύλῳ. μαθὼν τὸν ἀδελφὸν αὐτοῦ κατὰ τὴν τῆς ἐπιστρατείας αὐτοῦ πύστιν προσιόντα. κατὰ φήμην ἢ ἐρώτησιν.

π 3257

Πυτακίδῃ.

π 3258 Πυτίζω: πταίω.

π 3259 Πυτιναῖα· ὡς Διϊτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ ᾑρέθη φύλαρχος. καὶ αὖθις· Διϊτρέφης ἀνεπτέρωκεν, ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα. δεινῶς τέ μου τὸ μειράκιον ὁ Διϊτρέφης λέγων ἀνεπτέρωκεν, ὥσθ’ ἱππηλατεῖν. ὁ Διϊτρέφης οὗτος πλούσιος ἦν καὶ δυνάμενος ἱπποτροφεῖν, πρότερον πυτινοπλοκῶν γέγονε φύλαρχος. ὃς εὐτυχήσας συνεβούλευε καὶ ἄλλοις ἱππαρχεῖν.

π 3260 Πυτίνη: πλέγμα ἀπὸ θαλλῶν, ἅπερ Διϊτρέφης ὁ νεόπλουτος ἔπλεκε. καὶ ἀλλαχοῦ φησι. Διϊτρέφης πυτιναῖα ἔχων πτερά. Πυτίνη οὖν, ὅπερ λέγεται παρ’ ἡμῖν φλασκίον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org